2 cf. Mich. p. 17,28. 29   2—13 Arist. p. 451a 11—21, sed ad 7 cf. Mich. p. 18,20, ad 11 Mich. p. 20,16   13—18 cf. Mich. p. 20,30—21,18   18—30 Mich. p. 19,2—15   30 Arist. p. 451b 7. 8   30—p. 8,8 Mich. p. 19,20—31

---

1 γινόμενα B (Arist. M)   πάλιν οὖν ACa: ὥσπερ αὖ B   5 ante καθ' add. ὡς Arist.   6 ἐστιν ἡ μνήμη Arist. SU   7 τοῦ τοιούτου B Mich.: καθ' αὑτὸν in ras. A, ut vid.: καθ' αὑτὸ Ca   εἰκόνος πράγματός τινος Mich.   9 αἰσθόμεθα AB   10 tit. Περὶ ἀναμνήσεως add. AB   12 τίθεσθαι Arist. EMY   καὶ ABa: om. C   ἐστι om. B   16 μὲν om. B   18 λοιπὸν Ca Mich.: λεῖπον AB   20 ἐγγενόμενον coni. Spengel (ἐνυπάρχον Mich.)   τι] τε Mich.   22 εἰκών Spengel (Mich. SCa), sed εἰκώ etiam Mich. R   23 ἠφάνιστο Ca   25 τρανοῦς AB (sed ς evan. in B) Mich. CRP: τρανοῦ Ca Mich. Sa   26 κινήσεις AB Mich.: om. Ca, ceterum Michaelis verba corrupit   29 fort. του

„μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλλῆος". εἰ μὲν οὖν ὁ τύπος οὗτος μένει ἅπας ἰσχυρός τε καὶ καθαρός, ὡς ἀνεμποδίστως ὅλον ἡμᾶς αὐτὸν δύνασθαι ἀπαγγέλλειν καὶ ὅλον προβάλλεσθαι, τοῦτο μνήμη· εἰ δὲ τὸ μὲν „μῆνιν ἄειδε θεὰ" ἐμμένει, τὸ δὲ ἑξῆς ὑπὸ χρόνου καὶ λήθης ἐκλείπει, εἶτα ἐκ τοῦ μένοντος ἡ ψυχὴ κινηθεῖσα ὑπό τινων τύπων ὁμοίων ἢ ἀνομοίων εὑρήσει καὶ τὸ λεῖπον, ἀνάμνησις τοῦτο. καὶ δῆλον ἐκ τούτων, ὡς τῶν ἁπλῶν ὀνομάτων ἀνάμνησις οὐκ ἔστιν, ἀλλ' ἢ μνήμη ἢ μάθησις, εἰ μὴ πολλάκις καὶ ἐν ἐκείνοις μενούσης τῆς πρώτης συλλαβῆς προσεξευρίσκομεν τὰς λοιπάς. ἕπεται δὲ τῇ ἀναμνήσει ἐξ ἀνάγκης ἡ μνήμη· ὁ γὰρ ἀναμνησθεὶς τρόπον τινὰ ἐμνήσθη· μέρους γάρ τι|νος τῆς προτέρας ἐπανάληψιν ποιεῖται μνήμης, 243 καὶ δεῖ διαφέρειν μαθήσεως καὶ εὑρέσεως τὴν ἀνάμνησιν τῷ ἐνεῖναι πλείονα ἀρχὴν ἀναμιμνῃσκομένοις ἢ ἐξ ἧς μανθάνουσιν, εἴπερ πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως. τί μὲν οὖν ἐστιν ἀνάμνησις, εἴρηται, ὅτι μνήμης ἀνανέωσις· ὅθεν δὲ συμβαίνει, δῆλον. ἐπεὶ γὰρ πέφυκε κίνησις ἐν ψυχῇ ἥδε μετὰ τήνδε, εἰ μὲν ἐξ ἀνάγκης, δῆλον ὡς ὅταν ἐκείνην κινηθῇ, τήνδε κινηθήσεται· εἰ δὲ μὴ ἐξ ἀνάγκης ἀλλ' ἔθει, ὡς ἐπὶ τὸ πολὺ κινηθήσεται. ὥσπερ γὰρ ἐπὶ τῆς ἁλύσεως τοῦδε τοῦ κρίκου ἀρθέντος ἐξ ἀνάγκης ὁ ἐφεξῆς κινεῖται, καὶ δι' ἐκεῖνον ὁ μετ' αὐτόν, οὕτω καὶ ἐπὶ τῶν τύπων τῶν ἐν τῇ ψυχῇ· κινηθείσης γὰρ καθάπαξ ὑπό τινος τούτων, εὐθὺς κινεῖ αὐτὴν καὶ ὁ ἐφεξῆς καὶ ὁ μετ' ἐκεῖνον. οἷον ἦν μουσικὸς Κορίσκος ἔχων λύραν καὶ γέγονεν ἐν τῇ ψυχῇ τύπος καὶ τῆς λύρας καὶ τοῦ Κορίσκου· εἶδον μετὰ ταῦτα Σωκράτην φέρε εἰπεῖν κρατοῦντα λύραν, καὶ εὐθὺς ἀνεμνήσθην τῆς τοῦ Κορίσκου λύρας, εἶτα Κορίσκου. πάλιν ἤκουσά του ᾄδοντος „δύο ψυχαὶ ἐξήρχοντο, καὶ μία πρὸς ἄλλην ἔλεγε, ποῖ πορευτέον". μετὰ δέ τινας χρόνους ἤκουσα ἄλλου ᾄδοντος τὸ μὲν μέλος κατὰ ῥυθμὸν ἐκεῖνον, λόγον δὲ ἕτερον οἷον „ὁ νοῦς ὁ πρῶτος ἄγει με καὶ πάλιν κάτω φέρει", καὶ κινηθεὶς ἀπὸ μόνου τοῦ μέλους ἦλθον εἰς ἀνάμνησιν τοῦ πρώτου λόγου „δύο ψυχαὶ ἐξήρχοντο" καὶ τοῦ ᾄδοντος.

Τούτων ὄντων εἰσὶ μὲν τύποι τινὲς ἐξ ἀνάγ|κης ἀκολουθοῦντες ἀλλή- 244 λοις· ἀνάγκη γὰρ τὸν μνησθέντα πυρὸς συνεννοῆσαι καὶ θερμότητα, καὶ τὸν τυφθέντα ὑπὸ Σωκράτους τῇ τοῦ Σωκράτους ἀναμνήσει καὶ ὅτι ὑπ' αὐτοῦ ἐτύφθη ἐν τῷδε τῷ τόπῳ συναναμνησθῆναι. ὅσοι δὲ μὴ ἐξ ἀνάγκης ἀλλ' ἔθει, οὐκ ἀεὶ ἕπεται τοῖς προτέροις τὰ δεύτερα, ἀλλ' ὡς

9. 10 Mich. p. 20,11—13   11. 12 cf. Arist. p. 451b 8—10   13 Mich. p. 24,7. 8   15—17 Arist. p. 451b 11—14   17—33 Mich. p. 24,17—25,4   31 ἀνάγκη—θερμότητα add. Soph.   33—p. 9,8 Mich. p. 25,11—23

1 Πηλιάδεω C   ἀχιλλῆος A: Ἀχιλλέως Spengel   4 ἐκλέλοιπε B (οὐ μένει Mich.)   5 κινηθεῖσα Ca Mich.: κινηθῇ AB   εὑρήσει Ca Mich.: καὶ εὑρήσει AB   10 ἐπανάληψιν AB Mich.: ἀνάληψιν Ca   16. 17 εἰ δὲ—κινηθήσεται ABa: om. C   23 εἶδον AB Mich.: εἶδε Ca   24 ἀνεμνήσθην AB Mich.: ἀνεμνήσθη Ca   τοῦ om. AB, sed v. Mich.   26 καὶ ante ἄλλου add. B   28 post φέρει add. με ABa (om. etiam Mich. a et metro refellitur)   32 καὶ om. C

ἐπὶ πολύ. ἔσται δὲ τὸ λεγόμενον ὧδε δῆλον· πολλάκις ἐγὼ βουληθεὶς εἰπεῖν Λυκάβητον οὐκ ἀνεμιμνῃσκόμην, ἐξ οὗ εἴθισα ἐμαυτὸν ἐνθυμεῖσθαι λύκον (ἄρχονται γὰρ ἀμφότεροι ἐκ τῆς λυ συλλαβῆς)· ἀφ' οὗ δὴ λύκου ὁρμώμενος ἀνεμιμνῃσκόμην τὸν Λυκάβητον. ἄλλος δέ τις τοῦ Ταυρομενίτου ἐπιλανθανόμενος εἴθισεν εὐθὺς ἔρχεσθαι εἰς ἔννοιαν ταύρου, καὶ ἄλλος ἀπὸ τῆς πλευρᾶς τὴν πλευρώνην ἐθίσας ἀνέφερεν. ἐπὶ γοῦν τούτων οὐκ ἀεὶ τῇ πρώτῃ ἡ λοιπὴ ἕπεται, ἀλλὰ πολλάκις τὴν μὲν πλευρὰν ἐνθυμοῦμαι, τὴν δὲ πλευρώνην οὐκ ἀναμιμνῄσκομαι. συμβαίνει δ' ἐνίους ἅπαξ ἐθισθῆναι μᾶλλον ἢ ἑτέρους πολλάκις κινουμένους. διὸ ἔνια ἰδόντες ἅπαξ πολλάκις μνημονεύουσιν ἢ ἕτερα πολλάκις. ὅταν οὖν ἀναμιμνῃσκώμεθα, κινούμεθα τῶν προτέρων καὶ ἡγουμένων τινὰς κινήσεων, ἕως ἂν κινηθῶμεν, μεθ' ἣν ἐκείνη εἴωθε. διὸ καὶ τὰ ἐφεξῆς θηρεύομεν νοήσαντες ἀπὸ τοῦ νῦν ἢ ἄλλου τινός, διὰ τοῦτο καὶ ἀφ' ὁμοίου ἢ ἐναντίου ἢ τοῦ σύνεγγυς ἡ ἀνάμνησις γίνεται· αἱ γὰρ κινήσεις τῶν μὲν αἱ αὐταί, τῶν δὲ ἅμα, τῶν δὲ μέρος ἔχουσιν. οἷον εἶδέ τις γεγραμμένην λύραν καὶ κινη|θεὶς ἀπὸ ταύτης 245 ὡς προτέρας καὶ ἡγουμένης ἀνεμνήσθη λύρας, ἐκ ταύτης τοῦ μουσικοῦ, ἐκ δὲ τούτου ἣν ᾖδεν ᾠδήν. πολλάκις δὲ καὶ ἀπό τινος ἄλλου· εἰ γὰρ τύχοι ἐφεξῆς ὢν τῷ τῆς ᾠδῆς τύπῳ ὁ τοῦ κίονος, ἀναμνησθήσομαι αὐτὴν ἀπὸ τοῦ κίονος. ἀπὸ δὲ τοῦ ὁμοίου καὶ ἐναντίου, ὅταν ἀπὸ μὲν τῆς τοῦ Σωκράτους εἰκόνος ἀναμνησθῶ Σωκράτην, ἀπὸ δὲ τοῦ μέλανος λευκὸν καὶ ἐκ θερμότητος ψυχρότητα. ἐκ δὲ τοῦ σύνεγγυς, ὅταν ἀπὸ τοῦ „ἀντὶ πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι“ ἀναμνησθῶ „χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω τὸ τῇ πόλει συμφέρον“. μέγιστον μὲν οὖν παντὸς ἡ ἀρχή, καὶ ταύτης εὑρεθείσης τὰ μετ' αὐτὴν μικρά· ὅθεν τῆς ἀρχῆς ληφθείσης συνείρεται τὰ ἑξῆς. εἰ δέ ποτε καὶ εὑρεθείσης καὶ τοῦ πρώτου μέρους κινηθέντος οὐχ ἕψεται τὰ ἑκατέρωθεν, οὐ χρὴ θαυμάζειν· ὅταν γὰρ τέλεον ἀφανισθῇ, οὐκ ἀκολουθήσει. ζητοῦσι μὲν οὖν οὕτω γίνεται ἡ ἀνάμνησις, ἀφ' ὧνπερ εἴπομεν, ἀπὸ τῶν ὁμοίων

---

8—15 Arist. p. 451 b 14—22 15—23 Mich. p. 26,7—19 20. 21 καὶ—ψυχρότητα ipse addidit, item 22. 23 τὸ—συμφέρον 23. 24 Mich. p. 27,3—6 24—26 Mich. p. 26,30—27,1 26—p. 10,6 Mich. p. 27,9—29

---

1 ἐπὶ τὸ πολὺ C 2 et 4 λυκάβαντα Ca, sed v. Mich., λυκαβηττὸν recte Mich. S 2 ἐμαυτὸν C Mich.: αὐτὸν ABa (Mich. P, αὑτὸν R) 3 ἀμφότερα rectius Mich. praeter a 4 Ταυρομενείτου AB 4. 5 ἐπιλανθανόμενος AB (Mich. SRP): ἐπιλαθόμενος Ca (Mich. Ca) 6 et 8 πλευρώνην AB (πλευρόνην Mich. CRP): πλευρῶνα C: πλευρῶνιν a: πλευρωνίαν Mich. Sa, cf. p. 11,24. 25. 12,5 9 ἢ] καὶ B ἑτέρως C: ἑτέρας a: (quod nimii aestimat Freudenthal l. c. p. 407): ἄλλους Arist. EMY κινουμένης a ἅπαξ ἰδόντες Arist. praeter L πολλάκις] μᾶλλον ex Arist. coni. Spengel 10 ἕτερα ABa (Arist. ML): ἕτεροι C (Arist. EY) 11 τινὰ Arist, cui τινὰς reddit Freud. p. 409 12 τὰ] τὸ ex Arist. Spengel, sed cf. p. 10,10 13 διὰ τοῦτο post σύνεγγυς ex Arist. Spengel 15 μέρος Ca Arist.: μέρη AB 17 ᾖδεν Ca (Mich. a): ἦρεν AB: ᾖσεν Mich. SCRP 18 τύχῃ B ὁ Ca Mich.: τὸ AB 19 τοῦ ὁμοίου καὶ ἐναντίου Ca (Mich., Arist.): τῶν ὁμοίων καὶ ἐναντίων AB 21 θερμότητος ABa: θερμοῦ C πολλῶν ABC Mich.: πολλῶν ἂν a (Dem.)

ἢ τῶν ἀντικειμένων ἢ τῶν ἐγγύς· ὅταν δὲ μὴ ζητοῦσιν ἀναμνησθῆναί του γένηται, ἐξ οὐδενὸς τούτων. ὅταν γὰρ ᾠδῆς τις μνησθεὶς ἀναμνησθῇ Σωκράτους, οὔτ' ἀφ' ὁμοίου οὔτ' ἐξ ἀντικειμένων ἢ τῶν ἐγγὺς ἐποιήσατο τὴν ἀνάμνησιν. τοῦτο δὲ σπάνιον καὶ ὀλιγάκις· τὰ γὰρ πολλὰ ἑτέρων γινομένων κινήσεων ἕπεται. πραγματευομένους δὲ τὰ περὶ τῆς ἀναμνήσεως οὐδὲν δεῖ σκοπεῖν, πῶς τὰ πόρρω ἀναμιμνησκόμεθα καὶ παλαιά, ἀλλὰ τὰ ἐγγύς καὶ ἃ πρὸ ὀλίγου ᾐσθόμεθα ἢ ἐδιδάχθημεν· μᾶλλον γὰρ ταῦτα πρὸς τὴν διδασκαλίαν διὰ τὴν ἐγγύτητα ἢ ἐκεῖνα. | εἷς μέντοι καὶ ὁ αὐτός ἐστι τρόπος 246 τῆς ἀναμνήσεως ἀμφοτέρων. ὡς γὰρ ἐπὶ τῶν σύνεγγυς ἀπὸ τῆς ἐνούσης ἀρχῆς ζητήσας τις συνείρει καὶ ἀναμιμνήσκεται τὰ ἑξῆς (ἀκολουθοῦσι γὰρ τῷ ἔθει αἱ κινήσεις, ὡς εἴρηται, καὶ ἥδε μετὰ τήνδε), οὕτω καὶ ὅταν τις ἀναμιμνήσκηται ὧν πάλαι τὴν ἐπιστήμην ἔλαβε. ζητήσει γὰρ κἀκεῖ ἀρχὴν λαβέσθαι κινήσεως, μεθ' ἣν ἐκείνη ἔσται. διὸ τάχιστα καὶ κάλλιστα γίνονται ἀπ' ἀρχῆς αἱ ἀναμνήσεις. ὡς γὰρ ἔχει τὰ πράγματα πρὸς ἄλληλα τῷ ἐφεξῆς, οὕτω καὶ αἱ κινήσεις, καὶ ἔστιν εὐμνημόνευτα ὅσα τάξιν τινὰ ἔχει καὶ πρῶτον καὶ δεύτερον, ὥσπερ τὰ μαθήματα καὶ μάλιστα τὰ γεωμετρικά, τὰ δὲ ἄτακτα φαύλως καὶ χαλεπῶς· ὡς γὰρ ἐπὶ τῶν αἰσθητῶν, εἰ ἐφεξῆς κεῖνται καὶ μετὰ τάξεως, καλῶς ἡ ὄψις ὁρᾷ, εἰ δὲ συγκεχυμένως, οὐ καλῶς, οὕτω καὶ ἐπὶ τῶν ἐν ψυχῇ τύπων. διαφέρει δὲ τὸ ἀναμιμνήσκεσθαι τοῦ πάλιν μανθάνειν καὶ ὅλως μάθησις ἀναμνήσεως τῷ τὸν μὲν ἐξ ἑαυτοῦ καὶ τῆς ἐνούσης αὐτῷ ἀρχῆς κινεῖσθαι ἐπὶ τὸ συνεχὲς τῇ ἀρχῇ, τὸν δὲ μὴ δι' αὐτοῦ, ἀλλὰ δι' ἄλλου, τοῦ διδασκάλου. ἔτι πολλάκις μὲν ἤδη ὁ ἀναμιμνησκόμενος ἀδυνατεῖ ἀναμνησθῆναί τι αὐτίκα, ζητῶν δὲ ὅμως καὶ πολυπραγμονῶν τέλος δύναται καὶ εὑρίσκει. τοῦτο δὲ γίνεται κινοῦντι πολλά, ἕως ἂν τοιαύτην κινήσῃ κίνησιν, ᾗ ἀκολουθήσει τὸ πρᾶγμα. ὡς γὰρ αἱ πολλαὶ ῥανίδες ἐπιτήδειον ἐποίησαν τὴν πέτραν, τέλος δὲ ἡ ἐσχάτη ἐκοίλανε, καὶ ἐπὶ τῆς ἐν καρδίᾳ ὑγρότητος οὕτως ἔχει· πολλάκις γὰρ κινηθεῖσα τελευταίαν κινεῖται κίνησιν, καθ' ἣν ἀνίσταται τὸ ζητού|μενον. 247 ἔστιν οὖν τὸ ἀναμιμνήσκεσθαι τὸ ἐνεῖναι δύναμιν τὴν κινοῦσαν, λέγω δὲ δύναμιν τὴν ὑπάρχουσαν ἀρχήν· αὕτη γὰρ τὴν διάνοιαν ἐποξύνει καὶ ἀνεγείρει πρὸς ἀνάλυσιν τοῦ λοιποῦ, τοῦτο δὲ ὥστ' ἐξ ἑαυτοῦ καὶ ὧν ἔνδον

---

7. 8 nova    8—12 Mich. p. 28,3—7    12—17 Arist. p. 451b30—452a4
16 cf. Mich. p. 28,17    17—22 Mich. p. 28,18—26    22—25 Arist. p. 452a8—10
25—31 Mich. p. 28,29—29,3    31—p. 11,1 Arist. p. 452a11. 12

---

1 ἐγγὺς AB (σύνεγγυς Mich.), cf. v. 3: ἑξῆς Ca    2 γένηται Ca: γένοιτο AB    5 τὰ om. C
6 καὶ τὰ παλαιὰ Spengel    7 ᾐσθήμεθα C    9 prius τῆς B Mich.: om. ACa    ἐπὶ ABa: ἀπὸ C    10 τὸ ἐφεξῆς Arist. Mich.    11 prius καὶ om. Mich. del. Freud. p. 409 cf. 8,15. 11,31    ' μετὰ τὴν τήνδε A    13 λαβεῖν Arist. (Spengel) μεθ'] καθ' C    14 ἔχουσι Arist. libri praeter L    πρὸς ἄλληλα hic habet B (Arist.): post ἔχει ACa    18 κεῖνται a Mich. SCa: κεῖται C: κινεῖται AB Mich. RP καλῶς hic habet B (cf. Mich.): post ὁρᾷ Ca: om. A    23 ζητεῖν Arist. LSU    25 ἕως ἂν] ἐὰν Arist. libri praeter L    κινήσῃ κίνησιν B Arist.: κίνησιν κινήσῃ ACa (κινήσῃ in ras. C    26 ἐσχάτη ABMich.: τελευταία Ca    27 οὕτως om. a
29 δυνάμει B    31—p. 11,1 ἔχει ἔνδον C

ἔχει κινήσεων κινηθῆναι, ὥσπερ εἴρηται. διὸ δεῖ λαβέσθαι ἀρχῆς. ὅθεν τάχιστα δοκοῦσιν ἀπὸ τόπων ἐνίοτε ἀναμιμνῄσκεσθαι, τόπους δὲ ἢ ἃς ἀρχὰς ἐνεῖναι δεῖν τῇ ψυχῇ λέγομεν, ἢ τοὺς κατὰ τὰ σύστοιχα καὶ ὅμοια καὶ ἀντικείμενα, ὡς ἐν τῇ Διαλεκτικῇ εἴρηται, ἢ τοὺς σωματικοὺς καὶ τὰς ἐν τῷδε τῷ μέρει θέσεις. τὸ δὲ αἴτιον, ὅτι ταχὺ ἀπ' ἄλλου ἐπ' ἄλλο ἔρχεται, οἷον ἀπὸ γάλακτος ἐπὶ τὸ λευκόν, ἀπὸ λευκοῦ ἐπ' ἀέρα, ἀπὸ τούτου ἐφ' ὑγρόν, ἀφ' οὗ ἐμνήσθη μετοπώρου, ταύτην ἐπιζητῶν τὴν ὥραν.

Ἔοικε δὲ ὡς ἐπὶ τὸ πολὺ τὸ μέσον πάντων ἀρχῇ, καὶ ἡ τούτου εὕρεσις τὰ μέγιστα ὠφελεῖ· ποδηγεῖ γὰρ πρὸς τὴν τοῦ ζητουμένου κατάληψιν. οἷον ἐκκείσθωσαν ταυταδὶ τὰ στοιχεῖα ἰσάριθμα ὄντα καὶ ἀναλογοῦντα τοῖς νοήμασι τῆς ψυχῆς, ἃ κινεῖται ἀναμιμνῃσκομένη πρὸς εὕρεσιν τοῦ ζητουμένου, Α Β Γ Δ Ε Ζ Η Θ· καὶ ἐπεὶ μέσον τὸ Ε, ὁ τοῦτο εὑρών, εἰ μὴ ἅμα τῷ εὑρηκέναι αὐτὸ εὑρήσει καὶ ὅπερ ἐζήτει, ἐπὶ τὸ Θ ἐλθὼν μνησθήσεται. ἅπαξ γὰρ τοῦ μέσου λαβόμενον καὶ ἐπὶ τὸ ἔμπροσθεν καὶ ἐπὶ τὸ ὄπισθεν κινηθῆναι ἐνδέχεται. οὐδὲν δὲ κωλύει καὶ ὑπερβατῶς τὰς νοήσεις καὶ ἀνεστραμμένως ποιεῖσθαι, καὶ μετὰ τὸ Ε τὸ Θ νοῆσαι, καὶ ἀπὸ τοῦ Θ τὸ Ζ, εἶτα τὸ Η. εἰ μὲν οὖν ἐν τοῖς ἔμπροσθεν τὸ ζητούμενον εἴη, οὕτως εὑρήσει ἐλθὼν ἐπὶ τὸ Θ, ὥσπερ εἴρηται· εἰ δ' ἐν τοῖς ὄπισθεν, ἐλθὼν ἐπὶ τὸ Α. εἰσὶν οὖν τὰ | 248 κατὰ τὰ στοιχεῖα νοήματα ταῦτα, Ἀθῆναι, Λύκιον, οἶκος Πλάτωνος, νεομηνία, συμπόσιον, Σωκράτης, τὸ τυφθῆναι ὑπὸ Σωκράτους, λύρα.

Τοῦ δὲ ἀπὸ τοῦ αὐτοῦ ἐνίοτε μὲν μνησθῆναι, ἐνίοτε δὲ μὴ αἴτιον, ὅτι πλείους ἐνδέχεται κινηθῆναι κινήσεις ἀπὸ τῆς αὐτῆς ἀρχῆς· οἷον ἀπὸ τῆς πλευρᾶς ὁρμήσειε ἄν τις καὶ εἰς ἔννοιαν πλευρίτιδος καὶ πλευρωνίας· εἰ οὖν εἴη συνηθέστερον ἡ πλευρῖτις τῆς πλευρωνίας, ἕλξει μᾶλλον πρὸς αὑτὸ τὴν διάνοιαν, ὥσπερ τὰ λαμπρὰ τῶν σωμάτων τὴν ὄψιν. οὐ μόνον δὲ διὰ ταῦτα, ἀλλὰ καὶ εἰ ὁ μὲν παλαιὸς εἴη τῶν τύπων, ὁ δὲ νέος, κινήσει μᾶλλον ὁ νέος εἰς τὴν αὑτοῦ ἀνάμνησιν, εἰ μή που εἰς βάθος καθ' ἕξιν ἐπιστημονικὴν ὁ παλαιὸς ἐνσεσημασμένος εἴη καὶ πρὸς τούτοις συνήθης· ὥσπερ γὰρ νέος ἐστὶ τῇ καθ' ἑκάστην μελέτῃ. ὥσπερ δέ εἰσί τινα φύσει τόδε μετὰ τόδε (φύσει γὰρ τῇ τε τοῦ πυρὸς ἀναμνήσει ἡ θερμότης ἕπεται καὶ τῇ τοῦ ἡλίου ὁ φωτισμός), οὕτω καὶ ἔθει. ἔστι γὰρ ἐξ ἔθους τινά, ἅπερ ἀναμνησθέντες εὐθὺς ἀναμιμνῃσκόμεθα καὶ τὰ μετ' αὐτὰ ὄντα. τὸ

1—5 Mich. p. 29,4—12 5—7 Arist. p. 452a 13—16 8—p. 12,8 Mich. p. 29,23—32,4, sed hic paulo liberius versatur Soph., quam solet 20 cf. Soph. De an. p. 128,13 H.

2 Freud. p. 410 putat, τάχιστα Themistium in Arist. textu invenisse ἃς ABa: καὶ C 3 τὰ ABa: om. C 10 ταυταδὶ ABa: ταυτὶ C 12 ἐπεὶ] ἔστω Mich., Spengel τοῦτο ABC: τοῦτο γὰρ a 16 ἀντεστραμμένας B 18 Θ] η̄ A 19 alt. τὰ ABa: om. C 23 πλείους Ca: πλείω AB 24 ἂν om. AB 25 εἴη ABa: om. C 27 ἀλλὰ καὶ εἰ Ca: ἀλλ' εἰ καὶ AB: ἀλλὰ κἂν εἴη Mich. 28 καὶ ante καθ' add. B 30 καθ' ἑκάστην AB Mich.: καθ' ἕκαστον Ca 31 τε om. B

δὴ πολλάκις ἐθισθὲν ὥσπερ φύσις, καὶ ἐπεὶ ἐν τοῖς φύσει ἐγγίνεται ἁμαρτία καὶ παρὰ φύσιν, ἐνδέχεται τοῦτο συμβαίνειν καὶ ἐν τοῖς δι' ἔθος. εἰ δὲ τοῦτο, οὐδὲν κωλύει ἀναμνησθέντα τοῦ προτέρου καὶ ἡγουμένου ἁμαρτάνειν περὶ τὸ ὕστερον καὶ ἑπόμενον καὶ κινηθῆναι ἄλλως ἢ ὡς δεῖ, καὶ πρὸς τούτοις ὅταν ἐφέλκῃ ἀπὸ τῆς πλευρωνίας ἡ πλευρῖτις. διὰ τοῦτο καὶ ὅταν δέῃ ὄνομα ἀναμνησθῆναι, | 249 ἄλλου μὲν παρομοίου μνημονεύομεν, εἰς δὲ ἐκεῖνο σολοικίζομεν. ὁ γὰρ βουλόμενος ἀναμνησθῆναι Λεωφάνην μνησθεὶς Λεωσθένην ἐσολοίκισεν ὡς πρὸς τὸν Λεωφάνην.

Τὸ μὲν οὖν ἀναμιμνῄσκεσθαι τοῦτον συμβαίνει τὸν τρόπον, κοινῶς δὲ εἰπεῖν περὶ μνήμης καὶ ἀναμνήσεως, ὡς τὸ μέγιστον ἐν ἀμφοτέροις δεῖ γνωρίζειν τὸν χρόνον ἢ μέτρῳ καὶ ὡρισμένως (ὡς ὃ μνημονεύω ἢ ἀναμιμνῄσκομαι, χθὲς εἶδον ἢ πρὸ μηνός) ἢ ἀορίστως, ὡς ἁπλῶς πρότερον ᾔσθημαι, καὶ πάλαι ποτὲ τοῦτ' εἶδον καὶ ἤκουσα. εἰ γὰρ μὴ τοῦτο γένοιτο, συμβήσεται ἡμῖν ὑπολαμβάνειν, ὡς οὐκ ἀναμιμνησκόμεθα ἢ μνημονεύομεν, ἀλλὰ νῦν πρώτως ταῦτα καὶ οἴκοθεν προβαλλόμεθα. ἔστι δὲ τὸ κρῖνον τὸν πλείω καὶ ἐλάσσω χρόνον ἐν τοῖς τοιούτοις ἡ πρώτη αἰσθητικὴ ψυχὴ ἡ ἐν τῇ καρδίᾳ καθημένη. ὡς γὰρ ἡ διάνοια κρίνει τὰ μεγέθη οὐ τῷ ἀποτείνεσθαι ἔξω πρὸς ἐκεῖνα, ὥσπερ λέγουσιν ἡμᾶς ὁρᾶν οἱ δι' ἐκπομπὴν ἀκτίνων τιθέμενοι τὸ ὁρᾶν, ἀλλὰ κινοῦσα τοὺς ἀπὸ τῶν μεγεθῶν ἐναποκειμένους ἐν τῇ φαντασίᾳ τύπους (εἰ γὰρ ἐκείνως ἔκρινεν, ὅτε οὐ παρῆσαν, οὐκ ἂν ἠδύνατο κρίνειν· νυνὶ δὲ καὶ ἀπόντων κρίνει· οὐδὲν γὰρ ἕτερόν ἐστιν ἡ διάνοια ἢ νοῦ μετὰ φαντασίας ἐνέργεια), οὕτως εὔλογον καὶ τὴν αἰσθητικὴν ψυχὴν τίθεσθαι κρίνειν τὸν πλείω καὶ ἐλάσσω χρόνον ἔνδον μένουσαν καὶ κινουμένην ὑπὸ τῶν ἐνόντων τύπων. ἐπεὶ δὲ ἐν τῇ μνείᾳ τῶν περιεκτικῶν καὶ καθόλου λόγων καὶ οἱ καθ' ἕκαστα καὶ περιεχόμενοι συλλαμβάνονται, καὶ ὅταν ὅλην τινὰ περικοπὴν ἀπὸ βιβλίου καὶ μακρὰν | 250 περίοδον ἀπομνημονεύωμεν, ἐννοοῦμεν καὶ τὰ μέρη (τὸ γὰρ ὅλον ἐκ μερῶν, μέρη δὲ ἐνταῦθα κῶλα καὶ κόμματα), τίνι διοίσει ἡ διὰ πάντων ὁμοῦ ἀνάμνησις καὶ κατὰ κοινὸν τῆς ἐν μέρει; ἢ καθόσον συμβαίνει ὧδε μὲν τῇ τοῦ ὅλου μνήμῃ καὶ τὸ μέρος συνεννοεῖν, ἐκεῖ δὲ τῇ τοῦ καθόλου καὶ τὸ καθ' ἕκαστον; πρότερον μέντοι τὰ ἐντὸς καὶ ἐλάσσω νοήσει τῶν ἄκρων καὶ τῆς ὁλότητος, ἀνάλογα δὲ τὰ ἐντὸς πρός τε αὐτὰ καὶ τὰ ἄκρα τῷ ἔχεσθαι ἀλλήλων καὶ ἑξῆς εἶναι, ὡς ἐκεῖνα τὰ ἐν τῷ Τιμαίῳ· „θεοὶ θεῶν,

---

9 Arist. p. 452b6. 7 10—15 Mich. p. 32,11—18 15—24 Mich. p. 32,25—33,8 24—31 ipse addidit 31—p. 13,7 Mich. p. 33,11—25. 34,9. 10 liberius adhibuit

---

1 δὴ AB Mich.: δὲ Ca ἐπεὶ ABa: ἐπειδὴ C ἐγγίνεται ἁμαρτία AB Mich. CRP (γίνεται Mich. Sa): γιγνομένοις ἁμαρτία γίνεται Ca 3 post καὶ add. τοῦ Ca 5 ἐφέλκῃ libri Mich. CRP: ἀφέλκῃ Mich. Sa, Spengel 7 Λεωφάνην Ca (Mich. SCa): λεωφάνη A: λεωφάνους B (Mich. RP1) 9 τοῦτον—τρόπον ABa (Arist.): τοῦτον τὸν τρόπον συμβαίνει C 10 εἶπεν conicio (λέγει Mich.) 13 γένητο AB 15 πρώτως B Mich.: πρῶτον A (coni. Spengel): πρότερον Ca 20 ὅτε Ca Mich.: ὅταν AB 21 ἠδύνατο AB Mich.: ἐδύνατο Ca ἀπόντων] ἀπὸ τούτων B 26 βυβλίου a 31 πρότερον B Mich.: πρῶτον ACa 32 τε ABa: om. C

ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γε ἐθέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τὸ δέ γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔτι γε μὴν λυθήσεσθε οὐδὲ τεύξεσθε θανάτου μοίρας". τῷ μὲν οὖν δὴ ἅπαντι νοηθέντι συννενόηται καὶ τὸ μέρος, τὸ μέντοι „θεοὶ θεῶν" πρότερον ἐπῆλθεν ἡ διάνοια τοῦ μετ' αὐτό, κἀκεῖνο τοῦ ἐφεξῆς, καὶ πάντων ὕστερον τὸ κοινόν· τὰ γὰρ καθ' ἕκαστα ὁμοῦ τὸ ὅλον. ὡς δὲ ἐπὶ τῶν πραγμάτων καὶ νοημάτων ἔχει, καὶ ἐπὶ τοῦ χρόνου ζητεῖν εὔλογον· τοῖς γὰρ νοήμασι καθάπερ ὁ χρόνος συνείρεται, καὶ ἡ γνῶσις ἅμα· ὅθεν καὶ ὡς τὸ ἔλαττον πρᾶγμα πρὸς τὸ μεῖζον ἔχει, καὶ ὁ ἐλάττων χρόνος πρὸς τὸν μείζονα ὁμοίως ἕξει, καὶ ἐναλλάξ, ὡς τὸ πρᾶγμα ἅπαν πρὸς ἅπαντα τὸν χρόνον ἔχει, καὶ τὰ μέρη πρὸς τὰ μέρη.

Δῆλον δ' ἂν εἴη μᾶλλον ἐπὶ τῆς διαγραφῆς. | ἐκκείσθωσαν δύο τρί- 251
γωνα κάτω τὰς κορυφὰς ἔχοντα καὶ ἐμβεβλημένον ἓν ἑτέρῳ τὸ ἕτερον καὶ περιέχον μὲν ἔστω τὸ ΚΜΝ, τὸ δὲ ΑΒΕ περιεχόμενον, καὶ τετμήσθω ἡ ΑΒ κατὰ τὰ ΓΖ σημεῖα, καὶ ἐπεζεύχθωσαν κατὰ τὴν ἀντικειμένην τοῦ αὐτοῦ τριγώνου πλευρὰν καὶ ἐπ' εὐθείας ἡ ΓΔ ΖΗ, τετμήσθω δὲ καὶ ἡ ΚΜ κατὰ τὰ ΘΛ, καὶ ἐπεζεύχθωσαν πρὸς τὴν ἐξ ἐναντίας τοῦ αὐτοῦ τριγώνου πλευρὰν καὶ ἐπ' εὐθείας ἡ ΘΞ ΛΡ, κείσθωσαν δὲ καὶ ἀμφοτέρων τῶν τριγώνων αἱ τμήσεις τῶν γραμμῶν πρὸς εὐθεῖαν. ἔστω δὲ τὸ ἔλασσον καὶ ἐντὸς ἅπερ ἡ ψυχὴ νοεῖ πράγματα, τὸ δὲ μεῖζον καὶ ἐκτὸς ὁ χρόνος




ὁ συναισθόμενος ταῖς νοήσεσιν. ὥσπερ οὖν ὁ κινηθεὶς τὴν ΑΒ ΒΕ ἅμα καὶ τὴν ΑΓ ΓΔ κεκίνηται (ἐντὸς γὰρ καὶ περιέχονται), οὕτως ὁ τὴν ΑΓ ΓΔ καὶ τὴν ΑΖ ΖΗ. ὅπερ γὰρ ἡ ΑΓ πρὸς τὴν ΑΒ, τοῦτο ἡ ΓΔ πρὸς τὴν ΒΕ· ἀνάλογα γάρ, ὅθεν καὶ ἐναλλάξ. πάλιν ὡς ἡ ΑΖ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΖΗ πρὸς τὴν ΓΔ, καὶ ἐναλλάξ. λοιπὸν ὥσπερ ὁ νοῶν τὰς ὅλας |
τὴν ΑΒ καὶ τὴν ΒΕ συννοεῖ καὶ τὰς ΑΓ ΓΔ μέρη οὔσας, οὕτως ὁ τὰς 252
ΑΓ ΓΔ τὰς ΑΖ ΖΗ. ὡς δὲ ἐπὶ τούτων ἔχει, καὶ ἐπὶ τοῦ χρόνου. ὁ γὰρ κινηθεὶς τὰς ΚΜ ΜΝ χρονικὰς γραμμάς, καὶ τὰς ΚΘ ΘΞ κεκίνηται,

---

10. 11 cf. Mich. p. 35,3—5   7—10. 11—24 ipse exposuit, fort. Aristotelis vel Michaelis figuram secutus   25—p. 14,5 cf. Mich. p. 34,23—36,13

---

2 οὖν Ca Mich.: γὰρ AB   δὴ om. Ca (Mich. a)   δέ om. C (Mich. a)   μὴν] μὴ B   γε μὴν ABa (Mich.): μὲν δὴ C (Platonis libri)   4 οὐδὲ Ca Mich.: οὔτε AB   5 μοίρας Ca Mich.: μοῖραν AB   τῷ] τὸ Ca   6 πρότερον coni. Spengel (cf. ad. p. 12,31): πρῶτον libri   9 καθάπαξ B   12 ἅπαν πρός om. a   20 ἡ (ante KM) om. Spengel   27 συναισθανόμενος conicio, cf. ad p. 14,13   28 καὶ post οὕτως add. C   31 οὕτως—ΓΔ (sim. e coni. Spengel) om. a   ἡ ACa: ὁ B   32 καὶ (post AB) om. B   33 ἔχει om. a

φαντασία καὶ ἡ μνήμη τῷ ὑποκειμένῳ ταὐτό (πάθη γὰρ ἄμφω τῆς κοινῆς αἰσθήσεως), ἅμα δῆλον ὡς τῶν νοητῶν μνήμη καὶ φαντασία κατὰ συμβεβηκός, καὶ ὅτι τῷ πρώτῳ αἰσθητικῷ τούτων ἡ γνῶσις καὶ χρόνου δήπουθεν καὶ κινήσεως. διὸ καὶ ἑτέροις τισὶν ὑπάρχει τῶν ζῴων καὶ οὐ μόνον ἀνθρώποις καὶ τοῖς ἔχουσι δόξαν καὶ φρόνησιν. εἰ δὲ καὶ τῶν νοητικῶν τινος μορίων ἦν καὶ τῆς λογικῆς ψυχῆς, οὐκ ἂν ὑπῆρχε πολλοῖς τῶν ζῴων, ἴσως δὲ οὐδενὶ τῶν ἀλόγων διὰ τὸ μηδὲ νῦν πᾶσι τῷ μὴ πάντα χρόνου αἴσθησιν ἔχειν. ἀεὶ γὰρ ὅταν ἐνεργῇ τῇ μνήμῃ, καθάπερ καὶ πρότερον εἴπομεν, προσαισθάνεται ὅτι πρότερον τοῦτο ἢ εἶδεν ἢ ἤκουσεν ἢ ἔμαθεν ἢ ἔπαθε, τὸ δὲ πρότερον καὶ ὕστερον ἐν | χρόνῳ ἐστί. τίνος μὲν 237 οὖν ἐστι τῶν τῆς ψυχῆς μνήμη φανερόν, ὅτι οὗπερ καὶ ἡ φαντασία, καὶ ἔστι μνημονευτὰ μὲν καθ' αὑτὰ ὧν ἐστι φαντασία, κατὰ συμβεβηκὸς δὲ ὅσα μὴ ἄνευ φαντασίας.

Ἀπορήσειε δ' ἄν τις, πῶς ποτε τοῦ μὲν πάθους μόνου παρόντος ἐν τῇ φαντασίᾳ καὶ τοῦ ἐγκαταλείμματος, τοῦ δὲ πράγματος ἀπόντος μνημονεύει τὸ μὴ παρόν· τοῦ γὰρ πράγματος ἡ μνήμη, οὐ τοῦ τύπου. ὡς ἂν δὲ καὶ λύσεως τύχοιμεν εὐπετέστερον καὶ σαφῆ τά τε εἰρημένα καὶ τὰ ἑξῆς γένοιτο, μικρόν τι τῶν κατὰ τὴν φαντασίαν ἄνωθεν διαρθρώσωμεν πρότερον. εἴρηται μὲν γὰρ περὶ ταύτης κἀν τοῖς Περὶ ψυχῆς, οὐδὲν δ' ἧττον καὶ νῦν πρὸς τὴν χρείαν δεῖ νοεῖν ἐγγίνεσθαι ἡμῖν ἀπὸ τῶν ἐνεργειῶν τῶν περὶ τὰ αἰσθητὰ οἷον τύπον τινὰ καὶ ἀναζωγράφημα ἐν τῷ πρώτῳ αἰσθητικῷ (τὸ δέ ἐστιν ἡ καρδία), καθάπερ οἱ σφραγιζόμενοι τοῖς δακτυλίοις. τὸ γοῦν τοιοῦτον ἐγκατάλειμμα, ὅπερ ὑπομένει καὶ μὴ τοῦ αἰσθητοῦ παρόντος, φαντασίαν καλοῦσι, διὸ καὶ οὕτως ταύτην ὁρίζονται τύπον ἐν ἡγεμονικῷ. μήποτε δὲ οὐχ ὁ τύπος αὐτός ἐστι φαντασία, ἀλλ' ἡ περὶ τὸν τύπον τῆς φανταστικῆς δυνάμεως ἐνέργεια. ἦμεν γὰρ ἂν ἐν φαντασίᾳ καὶ μὴ ἐνεργοῦντες περὶ αὐτόν, ἔχοντες αὐτόν, καὶ ἅμα ἂν ἐν πλείοσι φαντασίαις καὶ τοσαύταις ὅσων καὶ τὸν τύπον σῴζομεν. ἔτι ἤτοι τὴν ἐγγινομένην νῦν καὶ τυπουμένην εἰκόνα φαντασίαν λέγουσιν ἢ τὴν γεγονυῖαν ἤδη καὶ οὖσαν. ἀλλ' εἰ μὲν τὴν ἐγγινομένην, τὴν αἴσθησιν ἂν λέγοιεν τὴν κατ' ἐνέργειαν, εἰ δὲ τὴν γεγονυῖαν καὶ σῳζομένην, τὴν μνή|μην. ἀλλ' ὡς ἐπὶ τῆς 238 αἰσθήσεως (τὸ μὲν γάρ τι ἐκεῖ αἰσθητόν, τὸ δὲ δύναμις αἰσθητική, καὶ

---

4—16 Arist. p. 450a 15—27 6 cf. Mich. p. 13,8 15 ἐγκατάλειμμα ex Mich. p. 13,27 16—20 transitum ipse facit (cf. Mich. p. 2,20. 14,7. 8) 20—p. 5,6 Mich. p. 2,31—4,12 22 καθάπερ—δακτυλίοις Arist. p. 450a 32

---

5 ἀνθρώπῳ Arist. LSU καὶ (post δόξαν)] ἢ Arist. 8 ἔχει C ἀεὶ] δεῖ Arist. EY 9 προσαισθάνεται Spengel, sed προαισθάνεται etiam Arist. libri prave praeter LU 10 ἢ ἔπαθεν post ὕστερον a: del. Spengel 11 ἡ μνήμη Arist. EMY ἡ om. Arist. LS 12 ἔστι Ca: ἔστι μὲν AB ὧν ἐστι φαντασία] ὅσα (μή add. EY) ἐστὶ φανταστά EMY 15 μνημονεύεται Arist. EMY 16 δὲ om. a 17 τύχωμεν A εὐπετέστερον corr. ex εὐτελέστερον A 22 δακτύλοις AB 25 αὐτός B Mich.: οὗτος ACa 27 ἅμα ἂν] ἦμεν ἂν C: ἅμα ἂν ἦμεν Mich. 29 εἰκόνα] ἔτι Ca 32 τι Ca Mich.: τοι AB

τρίτον αἴσθησις, ἡ περὶ τὸ αἰσθητὸν ἐνέργεια τῆς δυνάμεως· καὶ ἐπὶ τῆς νοήσεως δὲ τὸ μὲν νοητόν, τὸ δὲ νοῦς, τὸ δὲ νόησις), οὕτως ἔχειν καὶ περὶ τὴν φαντασίαν ὑποληπτέον· τὸ μέν τι εἶναι φανταστικόν, τὸ δὲ φανταστόν, τὸ δὲ φαντασίαν, καὶ ὥσπερ ἡ διὰ τοῦ αἰσθητικοῦ παρόντος τοῦ αἰσθητοῦ γινομένη ἐνέργεια αἴσθησίς ἐστιν, οὕτως ἡ μὴ παρόντος ἐν τῷ τύπῳ καὶ τῷ ἐγκαταλείμματι φαντασία. χρὴ δὲ κοινότερον τοῦ τύπου ἐπὶ τῆς φαντασίας ἀκούειν· κυρίως γὰρ ὁ κατ' εἰσοχήν τε καὶ ἐξοχὴν ἢ τὸ τοῦ τυποῦντος ἐν τῷ τυπουμένῳ σχῆμα γινόμενον, ὡς ὁρῶμεν τὰ ἐπὶ τῶν σφραγίδων ἔχοντα. οὐχ οὕτω δὲ τὰ τῶν αἰσθητῶν ἐγκαταλείμματα ἡμῖν ἐγγίνονται· οὐδὲ γὰρ τὴν ἀρχὴν κατὰ σχῆμά τι γέγονεν ἡ τῶν αἰσθητῶν ἀντίληψις· ποῖον γὰρ σχῆμα τὸ λευκὸν ἢ χρῶμα ὅλως ἢ ὀσμή; καταχρηστικώτερον οὖν τὸν τύπον ἐνταῦθα φέρομεν τῇ ἀπορίᾳ τοῦ κυριωτέρου. τί μὲν οὖν ἐστι φαντασία εἴρηται, μνήμη δέ ἐστιν ἡ ταύτης μονὴ καὶ σωτηρία. τούτων οὕτως ὑποκειμένων, ἐπειδήπερ ἐν τῷ πρώτῳ αἰσθητηρίῳ τοὺς τύπους τῶν πραγμάτων ἐνσημαινόμεθα, ὥσπερ εἴρηται, τοῦτο δὲ τοῖς μὲν ὑγρότερον, τοῖς δὲ σκληρότερον καὶ τοῖς μὲν ἐν κινήσει, τοῖς δ' οὔ, ἀνάγκη καὶ τοὺς τύπους τοῖς μὲν ἐγγράφεσθαι, τοῖς δὲ οὔ, καὶ τοῖς μὲν ἐπὶ πολὺ μένειν, τοῖς δὲ ἐν βραχεῖ· ὅθεν τῶν ἀνθρώπων οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον μνημονεύουσιν, οἱ δὲ ἐλάχιστον. καὶ ἐν κινήσει μὲν τοῖς τε πάμπαν νέοις καὶ τοῖς ἄγαν πρεσβυτέροις (τοῖς μὲν γὰρ αὔξει, τοῖς δὲ φθίνει, κινεῖται δέ τισι καὶ διὰ νόσον), | 239 οὐ κινεῖται δὲ τοῖς μέσως καθ' ἡλικίαν καὶ κρᾶσιν ἔχουσιν. ὥσπερ οὖν ἐν ὕδατι ῥέοντι οὐκ ἂν ἡ ἐν τῷ δακτυλίῳ ἐνσημανθείη σφραγίς, οὕτως οὐθ' οἷς τὸ αἰσθητήριον δι' ἡλικίαν ἢ νόσον [ὂν] ἐν κινήσει, μνήμη γίνεται, οὔτ' αὖ οἷς σκληρότερον, ὥσπερ οὐδὲ ἐν λίθῳ. διόπερ οἵ τε σφόδρα νέοι καὶ οἱ γέροντες ἀμνήμονές εἰσι· ῥέουσι γὰρ οἱ μὲν κατὰ τὴν αὔξησιν, οἱ δὲ διὰ τὴν φθίσιν. ἔοικε γὰρ ἐν τοῖς γέρουσιν ἡ καρδία, τὸ πρῶτον αἰσθητικόν, τοῖς παλαιοῖς τῶν οἰκοδομημάτων· ὥσπερ γὰρ θρύπτεται ψυχομένη καὶ τοὺς ἐν αὐτῇ τῶν πραγμάτων ἀπαλείφει τύπους, ὡς ἐκεῖνα τὴν ἀληλιμμένην τίτανον καὶ τὰ ἐν αὐτοῖς γεγραμμένα ζῷα. ὁμοίως δὲ καὶ οἱ λίαν ταχεῖς καὶ βραδεῖς οὐδέτεροι φαίνονται μνήμονες· οἱ μὲν γὰρ ὑγρότεροι τοῦ δέοντος, οἱ δὲ σκληρότεροι, καὶ τοῖς μὲν οὐ μένει τὸ φάντασμα ἐν τῇ ψυχῇ, τῶν δὲ οὐχ ἅπτεται. τοσαῦτα ἔξωθεν εἰς σαφήνειαν προσλαβόμενοι πάλιν τὴν κατ' ἀρχὰς ἀπορίαν

---

6—13 cf. Mich. p. 4,30—5,6  13—25 cf. Mich. p. 14,9—14. 19. 20  25. 26 Arist. p. 450b5—7  27—30 Mich. p. 14,15—18  30—32 Arist. p. 450b7—11  32—p. 6,1 cf. Mich. p. 14,25. 26

---

3 τι Ca Mich.: τοι AB  6 post δὲ add. νοεῖν A  8 γενόμενον B (γινόμενον etiam Mich.)  15 δὲ AB (coni. Spengel): δ' ἐν Ca  17 ἐγγράφεσθαι ABa ἐγγεγράφθαι C  19 τε om. Ca  21 καὶ ante καθ' add. B  22 δακτύλω AB  23 οὐθ' Spengel: οὐδ' libri  24 ὂν delevi  26 κατὰ] διὰ ex Arist. coni. Spengel  διὰ] κατὰ B  ἐν Ca: ἐπὶ AB  28 ψηχομένη Spengel, sed v. Mich.  29 ἀληλιμμένην AB Mich.: ἐκλιθουμένην C: ἐκλιμμένην a  . αὐτοῖς AB Mich.: αὐτῇ Ca  30 οἱ λίαν ante βραδεῖς add. Arist. EY

ἐκτίθεμεν· ἑτοιμότεροι γὰρ πρὸς τὴν λύσιν νῦν μᾶλλον ἢ πρότερον. εἰ δὴ τοιοῦτόν ἐστι τὸ συμβαῖνον περὶ τὴν μνήμην, πότερον τοῦτο μνημονεύει τὸ πάθος ἡ ψυχὴ ἢ ἐκεῖνο ἀφ' οὗ ἐγένετο; εἰ μὲν γὰρ τοῦτο, τῶν ἀπόντων οὐδὲν ἂν μνημονεύοιμεν· εἰ δ' ἐκεῖνο, πῶς αἰσθανόμενοι τοῦτο μνημονεύομεν οὗπερ μὴ αἰσθανόμεθα; ἔτι εἴτ' ἔστιν ὅμοιον ὥσπερ τύπος ἢ γραφὴ ἐν ἡμῖν ἡ τούτου αὐτοῦ αἴσθησις εἴτε ἀνόμοιον, διὰ τί ἂν εἴη μνήμη ἑτέρου ἀλλ' οὐκ αὐτοῦ τούτου; ὁ γὰρ ἐνεργῶν τῇ μνήμῃ θεωρεῖ τὸ πάθος τοῦτο καὶ αἰσθάνεται τούτου. πῶς οὖν τὸ μὴ παρὸν μνημονεύει; εἴη γὰρ ἂν καὶ | ὁρᾶν τὸ μὴ παρὸν καὶ ἀκούειν. ἢ ἔστιν ὡς ἐνδέχεται καὶ συμβαίνει 240 τοῦτο; οἷον γὰρ τὸ ἐν πίνακι γεγραμμένον ζῷον καὶ ζῷόν ἐστι καὶ εἰκών, καὶ τῷ ὑποκειμένῳ ἕν, τῷ δὲ λόγῳ διάφορον, οὕτω κἀνταῦθα. καὶ ὥσπερ ἐκεῖ, ὅταν μὲν ὡς καθ' αὑτὸ τὸ ζῷον ὁρᾷ τὸ ἐν πίνακι τὴν τέχνην θαυμάζων ἢ χακίζων μόνον, μὴ προσεννοούμενος ὅτι μίμημά ἐστιν ἄλλου, ζῷον ἁπλῶς λέγεται, ὅταν δὲ πρὸς τῷ ὁρᾶν ἀναφέρῃ καὶ προσλογίζηται ὅτι μίμημά ἐστι τοῦδε τοῦ ἀληθοῦς ζῴου, εἰκὼν λέγεται, οὕτω καὶ τὸ ἐν ἡμῖν φάντασμα δεῖ ὑπολαβεῖν καὶ αὐτό τι καθ' αὑτὸ εἶναι καὶ ἄλλου ἐγκατάλειμμα. ᾗ μὲν οὖν καθ' αὑτό, θεώρημα ἢ φάντασμά ἐστιν, ᾗ δὲ ἄλλου οἷον εἰκών, μνημόνευμα. ὅταν μὲν γὰρ ἐνεργῇ περὶ τὸν ἐν τῇ καρδίᾳ τύπον ἡ κοινὴ αἴσθησις ᾗ αὐτόν, θεώρημα τοῦτο, ὡς εἴρηται, ἢ φάντασμα λέγεται· ὅταν δὲ ἐνεργοῦσα προσαισθάνηται καὶ ὅτι ἄλλου ἐστίν, ἤδη τοῦτο εἰκὼν καὶ μνημόνευμα, καὶ ἡ τοιαύτη τῆς ψυχῆς ἐνέργεια μνήμη. διὰ τοῦτο ἐνίοτε ὃ διὰ μνήμης ἔχομεν, οὐκ ἴσμεν εἰ κατὰ τὸ αἰσθέσθαι συνέβη· πολλάκις γὰρ τῶν ψυχικῶν ἐξαπλουμένων νοημάτων φανταζόμεθά τινα, ὧν οὐκ ἴσμεν τὸν χρόνον ἢ τὸν τόπον ἢ παρ' οὗ προσελάβομεν, καὶ ἀμφισβητοῦμεν, πότερον αὐτοὶ τοῦ νοήματος εὑρεταὶ ἢ μαθηταί, καὶ πότερον φαντασία ἁπλῶς τοῦτο ἢ μνήμη. οἷον ἤκουσά ποτε λόγον παρά του, μετὰ δὲ ἐννοοῦμαι τὸν λόγον, οὐκ ἐνθυμοῦμαι δὲ ἀφ' οὗπερ ἤκουσα· ἀπορῶν οὖν λέγω, ἆρα πατὴρ τοῦ λόγου νῦν αὐτός εἰμι, ἢ πόθεν ἔχω τοῦτον; καὶ ταλαντεύομαι. ὅταν οὖν ἐνθυμηθῶ ἄλλο|θέν με τὸν λόγον 241 ἔχειν, μνήμη τότε γίνεται, νόημα δὲ πρότερον. γίνεται δὲ καὶ τοὐναντίον ἐνίοτε, οἷον συνέβη Ἀντιφέροντι τῷ Ὠρείτῃ καὶ ἄλλοις ἐξισταμένοις· τὰ

2—11 Arist. p. 450b11—23 12—16 Mich. p. 15,12—21 17. 18 Arist. p. 450b25—27 18—21 Mich. p. 15,21—24 22—30 Mich. p. 16,25—17,14 30—p. 7,1 Arist. p. 451a8—11

1 ἐκτίθεμεν AB (cf. Mich.): διέλωμεν Ca μᾶλλον om. Ca 2. 3 τὸ πάθος om. C 4 τούτου a (Arist. praeter L) 5 οὗπερ] οὗ C (Arist.) μὴ Ca: s. s. B: om. A εἴτ'] εἰ A 6 ἡ τούτου αὐτοῦ B (Arist. MU, εἰ τούτου αὐτοῦ LS, τούτου αὐτοῦ ἡ EY): ἡ τούτου ACa, quod Aristoteli restituit Freudenthal, Rh. M. XXIV p. 401 8 μνημονεύσει Arist. EY 9 μὴ C (Victorius, Spengel): om. ABa 11 λόγῳ δὲ a 13 θαυμάζων ἢ χακίζων ABa Mich.: χακ. ἢ θαυμ. C 14 ὅτι B Mich.: ὅτι τοῦτο ACa 15 ὑμῖν C 18 post εἰκὼν male (cf. p. 451a2) καὶ add. Arist. libri, cf. Freudenthal l. c. p. 402 μὲν om. B 18. 19 τοῦ et τύπου a 19 αὐτόν] καθ' αὑτό coni. Spengel, sed v. Mich. 20 ἐστὶν εἰκών, ἤδη τοῦτο Mich. 29 ὅτε A 31 ἐνίοτε om. Arist. EY

γὰρ φαντάσματα ἔλεγον ὡς γενόμενα καὶ ὡς μνημονεύοντες· πάλιν οὖν ἕτεροι τὰ αἰσθήματα ὡς φαντάσματα, καὶ ἄλλοι τὸ ἔμπαλιν. τοῦτο δὲ γίνεται, ὅταν τις τὴν μὴ εἰκόνα ὡς εἰκόνα θεωρῇ ἢ τὴν εἰκόνα ὡς μὴ εἰκόνα. αἱ δὲ μελέται τὴν μνήμην σῴζουσι τῷ ἐπαναμιμνῄσκειν, τοῦτο δέ ἐστιν οὐδὲν ἕτερον ἢ τὸ θεωρεῖν πολλάκις ὡς εἰκόνα καὶ μὴ καθ' αὑτό. τί μὲν οὖν ἐστι μνήμη καὶ τὸ μνημονεύειν, εἴρηται, ὅτι φαντάσματος ἕξις, ὄντος τοῦ τοιούτου φαντάσματος πράγματός τινος χρονισθέντος μετὰ τὴν γένεσιν, καὶ τίνος μορίου τῶν ἐν ἡμῖν, ὅτι τοῦ πρώτου αἰσθητικοῦ καὶ ᾧ χρόνου αἰσθανόμεθα.

Περὶ δὲ τοῦ ἀναμιμνῄσκεσθαι λοιπὸν εἰπεῖν. πρῶτον μὲν οὖν ὅσα ἐν τοῖς ἐπιχειρηματικοῖς λόγοις καὶ προβληματικοῖς ἡμῖν ἀποδέδεικται, δεῖ τιθέναι ὡς ἀληθῆ καὶ ὑπάρχοντα, ταῦτα δέ ἐστι τὸ μήτε μνήμης ἀνάληψιν τὴν ἀνάμνησιν μήτε λῆψιν εἶναι· οὔτε γὰρ ἀναμιμνῄσκεσθαι λέγομεν τὸν νῦν πρώτως μανθάνοντα καὶ λαμβάνοντα, ὃ οὐδέποτε ἔλαβεν ἢ μεμάθηκεν, ἀλλὰ μᾶλλον μανθάνειν, οὔτ' αὖ τὸν μαθόντα, σῴζοντα δὲ τὴν μνήμην λήθης μηδαμῶς μεσολαβησάσης, ἀλλὰ τὸν πρότερον μὲν ἔχοντα σῷον ἅπαν, ὕστερον δὲ τὸ μὲν ἀποβαλόντα τὸ δὲ σῴζοντα, ἐκ δὲ τοῦ σῳζομένου τὸ λοιπὸν ἀναλαμβάνοντα. ἔχει γὰρ ὧδε· ὅταν ὁ τύπος ὅλος καὶ τὸ ἀναζωγράφημα τὸ ἐν τῷ πρώτῳ αἰσθητηρίῳ ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως ἐγγινόμενον ὑπομένῃ καὶ σῴζηται τρανές | 242 τι καὶ φαιδρὸν καὶ καθαρὸν οὕτως, ὥστε ὅλον αὐτὸ δύνασθαι τὴν ψυχὴν κινεῖν καὶ ὅλον ὑπ' αὐτῆς ὁρᾶσθαι καὶ προβάλλεσθαι ὡς εἰκώ τινος, ἡ μνήμη τοῦτο, περὶ ἧς εἴρηται· ὅταν δὲ μέρος μέν τι τοῦ ὅλου μένῃ, μέρος δέ τι ἠφάνισται ἢ χρόνῳ ἢ ἑτέρῳ συμπτώματι, ὥστε μήτ' αὐτὸ τὴν ψυχὴν κινεῖν μήτ' ἐκείνην ὑπ' αὐτοῦ κινεῖσθαι, καὶ ἐκ τοῦ ὑπολελειμμένου μέρους τρανοῦς ὄντος καὶ καθαροῦ κινηθῇ κινήσεις τὸ συνεχὲς τῷ καθαρῷ (τοῦτο δὲ ἦν τὸ ἀμυδρὸν καὶ ὅλως ἐζοφωμένον) καὶ οἷον ἀναλυθῇ καὶ εὑρεθῇ τῇ ψυχῇ, τοῦτο ἀνάμνησις, οἱονεὶ ἀναζωγράφημα τῆς προτέρας μνήμης, οὐ πάσης (τοῦτο γὰρ μάθησις), ἀλλὰ τοῦ μέρους. ὅταν δὲ ὅλον ἀναλάβωμεν δηλονότι ἀπολέσαντες, μάθησις· δὶς γὰρ μαθεῖν καὶ εὑρεῖν τὸ αὐτὸ ἐνδέχεται. οἷον ἐκ τῆς κατ' ἐνέργειαν ἀκοῆς ἢ ὁράσεως γέγονεν ἐν τῇ ψυχῇ τύπος τοῦ

---

2 cf. Mich. p. 17,28. 29 2—13 Arist. p. 451a11—21, sed ad 7 cf. Mich. p. 18,20, ad 11 Mich. p. 20,16 13—18 cf. Mich. p. 20,30—21,18 18—30 Mich. p. 19,2—15 30 Arist. p. 451b7. 8 30—p. 8,8 Mich. p. 19,20—31

---

1 γινόμενα B (Arist. M) πάλιν οὖν ACa: ὥσπερ αὖ B 5 ante καθ' add. ὡς Arist. 6 ἐστιν ἡ μνήμη Arist. SU 7 τοῦ τοιούτου B Mich.: καθ' αὑτὸν in ras. A, ut vid.: καθ' αὑτὸ Ca εἰκόνος πράγματός τινος Mich. 9 αἰσθόμεθα AB 10 tit. Περὶ ἀναμνήσεως add. AB 12 τίθεσθαι Arist. EMY καὶ ABa: om. C ἐστι om. B 16 μὲν om. B 18 λοιπὸν Ca Mich.: λεῖπον AB 20 ἐγγενόμενον coni. Spengel (ἐνυπάρχον Mich.) τι] τε Mich. 22 εἰκὼν Spengel (Mich. SCa), sed εἰκώ etiam Mich. R 23 ἠφάνιστο Ca 25 τρανοῦς AB (sed ς evan. in B) Mich. CRP: τρανοῦ Ca Mich. Sa 26 κινήσεις AB Mich.: om. Ca, ceterum Michaelis verba corrupit 29 fort. του

„μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλλῆος“. εἰ μὲν οὖν ὁ τύπος οὗτος μένει ἅπας ἰσχυρός τε καὶ καθαρός, ὡς ἀνεμποδίστως ὅλον ἡμᾶς αὐτὸν δύνασθαι ἀπαγγέλλειν καὶ ὅλον προβάλλεσθαι, τοῦτο μνήμη· εἰ δὲ τὸ μὲν „μῆνιν ἄειδε θεὰ“ ἐμμένει, τὸ δὲ ἑξῆς ὑπὸ χρόνου καὶ λήθης ἐκλείπει, εἶτα ἐκ τοῦ μένοντος ἡ ψυχὴ κινηθεῖσα ὑπό τινων τύπων ὁμοίων ἢ ἀνομοίων εὑρήσει καὶ τὸ λεῖπον, ἀνάμνησις τοῦτο. καὶ δῆλον ἐκ τούτων, ὡς τῶν ἁπλῶν ὀνομάτων ἀνάμνησις οὐκ ἔστιν, ἀλλ' ἢ μνήμη ἢ μάθησις, εἰ μὴ πολλάκις καὶ ἐν ἐκείνοις μενούσης τῆς πρώτης συλλαβῆς προσεξευρίσκομεν τὰς λοιπάς. ἕπεται δὲ τῇ ἀναμνήσει ἐξ ἀνάγκης ἡ μνήμη· ὁ γὰρ ἀναμνησθεὶς τρόπον τινὰ ἐμνήσθη· μέρους γάρ τι|νος τῆς προτέρας ἐπανάληψιν ποιεῖται μνήμης, 243 καὶ δεῖ διαφέρειν μαθήσεως καὶ εὑρέσεως τὴν ἀνάμνησιν τῷ ἐνεῖναι πλείονα ἀρχὴν ἀναμιμνῃσκομένοις ἢ ἐξ ἧς μανθάνουσιν, εἴπερ πᾶσα διδασκαλία καὶ πᾶσα μάθησις διανοητικὴ ἐκ προϋπαρχούσης γίνεται γνώσεως. τί μὲν οὖν ἐστιν ἀνάμνησις, εἴρηται, ὅτι μνήμης ἀνανέωσις· ὅθεν δὲ συμβαίνει, δῆλον. ἐπεὶ γὰρ πέφυκε κίνησις ἐν ψυχῇ ἥδε μετὰ τήνδε, εἰ μὲν ἐξ ἀνάγκης, δῆλον ὡς ὅταν ἐκείνην κινηθῇ, τήνδε κινηθήσεται· εἰ δὲ μὴ ἐξ ἀνάγκης ἀλλ' ἔθει, ὡς ἐπὶ τὸ πολὺ κινηθήσεται. ὥσπερ γὰρ ἐπὶ τῆς ἁλύσεως τοῦδε τοῦ κρίκου ἀρθέντος ἐξ ἀνάγκης ὁ ἐφεξῆς κινεῖται, καὶ δι' ἐκεῖνον ὁ μετ' αὐτόν, οὕτω καὶ ἐπὶ τῶν τύπων τῶν ἐν τῇ ψυχῇ· κινηθείσης γὰρ καθάπαξ ὑπό τινος τούτων, εὐθὺς κινεῖ αὐτὴν καὶ ὁ ἐφεξῆς καὶ ὁ μετ' ἐκεῖνον. οἷον ἦν μουσικὸς Κορίσκος ἔχων λύραν καὶ γέγονεν ἐν τῇ ψυχῇ τύπος καὶ τῆς λύρας καὶ τοῦ Κορίσκου· εἶδον μετὰ ταῦτα Σωκράτην φέρε εἰπεῖν κρατοῦντα λύραν, καὶ εὐθὺς ἀνεμνήσθην τῆς τοῦ Κορίσκου λύρας, εἶτα Κορίσκου. πάλιν ἤκουσά του ᾄδοντος „δύο ψυχαὶ ἐξήρχοντο, καὶ μία πρὸς ἄλλην ἔλεγε, ποῖ πορευτέον“. μετὰ δέ τινας χρόνους ἤκουσα ἄλλου ᾄδοντος τὸ μὲν μέλος κατὰ ῥυθμὸν ἐκεῖνον, λόγον δὲ ἕτερον οἷον „ὁ νοῦς ὁ πρῶτος ἄγει με καὶ πάλιν κάτω φέρει“, καὶ κινηθεὶς ἀπὸ μόνου τοῦ μέλους ἦλθον εἰς ἀνάμνησιν τοῦ πρώτου λόγου „δύο ψυχαὶ ἐξήρχοντο“ καὶ τοῦ ᾄδοντος.

Τούτων ὄντων εἰσὶ μὲν τύποι τινὲς ἐξ ἀνάγ|κης ἀκολουθοῦντες ἀλλήλοις· 244 ἀνάγκη γὰρ τὸν μνησθέντα πυρὸς συνεννοῆσαι καὶ θερμότητα, καὶ τὸν τυφθέντα ὑπὸ Σωκράτους τῇ τοῦ Σωκράτους ἀναμνήσει καὶ ὅτι ὑπ' αὐτοῦ ἐτύφθη ἐν τῷδε τῷ τόπῳ συναναμνησθῆναι. ὅσοι δὲ μὴ ἐξ ἀνάγκης ἀλλ' ἔθει, οὐκ ἀεὶ ἕπεται τοῖς προτέροις τὰ δεύτερα, ἀλλ' ὡς

9. 10 Mich. p. 20,11—13  11. 12 cf. Arist. p. 451b8—10  13 Mich. p. 24,7. 8  15—17 Arist. p. 451b11—14  17—33 Mich. p. 24,17—25,4  31 ἀνάγκη—θερμότητα add. Soph.  33—p. 9,8 Mich. p. 25,11—23

1 Πηλιάδεω C  ἀχιλλῆος A: Ἀχιλλέως Spengel  4 ἐκλέλοιπε B (οὐ μένει Mich.)  5 κινηθεῖσα Ca Mich.: κινηθῇ AB  εὑρήσει Ca Mich.: καὶ εὑρήσει AB  10 ἐπανάληψιν AB Mich.: ἀνάληψιν Ca  16. 17 εἰ δὲ—κινηθήσεται ABa: om. C  23 εἶδον AB Mich.: εἶδε Ca  24 ἀνεμνήσθην AB Mich.: ἀνεμνήσθη Ca  τοῦ om. AB, sed v. Mich.  26 καὶ ante ἄλλου add. B  28 post φέρει add. με ABa (om. etiam Mich. a et metro refellitur)  32 καὶ om. C

ἐπὶ πολύ. ἔσται δὲ τὸ λεγόμενον ὧδε δῆλον· πολλάκις ἐγὼ βουληθεὶς εἰπεῖν Λυκάβητον οὐκ ἀνεμιμνῃσκόμην, ἐξ οὗ εἴθισα ἐμαυτὸν ἐνθυμεῖσθαι λύκον (ἄρχονται γὰρ ἀμφότεροι ἐκ τῆς λυ συλλαβῆς)· ἀφ' οὗ δὴ λύκου ὁρμώμενος ἀνεμιμνῃσκόμην τὸν Λυκάβητον. ἄλλος δέ τις τοῦ Ταυρομενίτου ἐπιλανθανόμενος εἴθισεν εὐθὺς ἔρχεσθαι εἰς ἔννοιαν ταύρου, καὶ ἄλλος ἀπὸ τῆς πλευρᾶς τὴν πλευρώνην ἐθίσας ἀνέφερεν. ἐπὶ γοῦν τούτων οὐκ ἀεὶ τῇ πρώτῃ ἡ λοιπὴ ἕπεται, ἀλλὰ πολλάκις τὴν μὲν πλευρὰν ἐνθυμοῦμαι, τὴν δὲ πλευρώνην οὐκ ἀναμιμνῄσκομαι. συμβαίνει δ' ἐνίους ἅπαξ ἐθισθῆναι μᾶλλον ἢ ἑτέρους πολλάκις κινουμένους. διὸ ἔνια ἰδόντες ἅπαξ πολλάκις μνημονεύουσιν ἢ ἕτερα πολλάκις. ὅταν οὖν ἀναμιμνῃσκώμεθα, κινούμεθα τῶν προτέρων καὶ ἡγουμένων τινὰς κινήσεων, ἕως ἂν κινηθῶμεν, μεθ' ἣν ἐκείνη εἴωθε. διὸ καὶ τὰ ἐφεξῆς θηρεύομεν νοήσαντες ἀπὸ τοῦ νῦν ἢ ἄλλου τινός, διὰ τοῦτο καὶ ἀφ' ὁμοίου ἢ ἐναντίου ἢ τοῦ σύνεγγυς ἡ ἀνάμνησις γίνεται· αἱ γὰρ κινήσεις τῶν μὲν αἱ αὐταί, τῶν δὲ ἅμα, τῶν δὲ μέρος ἔχουσιν. οἷον εἶδέ τις γεγραμμένην λύραν καὶ κινη|θεὶς ἀπὸ ταύτης 245 ὡς προτέρας καὶ ἡγουμένης ἀνεμνήσθη λύρας, ἐκ ταύτης τοῦ μουσικοῦ, ἐκ δὲ τούτου ἣν ᾖδεν ᾠδήν. πολλάκις δὲ καὶ ἀπό τινος ἄλλου· εἰ γὰρ τύχοι ἐφεξῆς ὢν τῷ τῆς ᾠδῆς τύπῳ ὁ τοῦ χίονος, ἀναμνησθήσομαι αὐτὴν ἀπὸ τοῦ χίονος. ἀπὸ δὲ τοῦ ὁμοίου καὶ ἐναντίου, ὅταν ἀπὸ μὲν τῆς τοῦ Σωκράτους εἰκόνος ἀναμνησθῶ Σωκράτην, ἀπὸ δὲ τοῦ μέλανος λευκὸν καὶ ἐκ θερμότητος ψυχρότητα. ἐκ δὲ τοῦ σύνεγγυς, ὅταν ἀπὸ τοῦ „ἀντὶ πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι“ ἀναμνησθῶ „χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω τὸ τῇ πόλει συμφέρον“. μέγιστον μὲν οὖν παντὸς ἡ ἀρχή, καὶ ταύτης εὑρεθείσης τὰ μετ' αὐτὴν μικρά· ὅθεν τῆς ἀρχῆς ληφθείσης συνείρεται τὰ ἑξῆς. εἰ δέ ποτε καὶ εὑρεθείσης καὶ τοῦ πρώτου μέρους κινηθέντος οὐχ ἕψεται τὰ ἑκατέρωθεν, οὐ χρὴ θαυμάζειν· ὅταν γὰρ τέλεον ἀφανισθῇ, οὐκ ἀκολουθήσει. ζητοῦσι μὲν οὖν οὕτω γίνεται ἡ ἀνάμνησις, ἀφ' ὧνπερ εἴπομεν, ἀπὸ τῶν ὁμοίων

---

8—15 Arist. p. 451 b 14—22 15—23 Mich. p. 26,7—19 20. 21 καὶ—ψυχρότητα ipse addidit, item 22. 23 τὸ—συμφέρον 23. 24 Mich. p. 27,3—6 24—26 Mich. p. 26,30—27,1 26—p. 10,6 Mich. p. 27,9—29

---

1 ἐπὶ τὸ πολὺ C 2 et 4 λυκάβαντα Ca, sed v. Mich., λυκαβηττὸν recte Mich. S 2 ἐμαυτὸν C Mich.: αὐτὸν ABa (Mich. P, αὐτὸν R) 3 ἀμφότερα rectius Mich. praeter a 4 Ταυρομενείτου AB 4. 5 ἐπιλανθανόμενος AB (Mich. SRP): ἐπιλαθόμενος Ca (Mich. Ca) 6 et 8 πλευρώνην AB (πλευρόνην Mich. CRP): πλευρῶνα C: πλευρῶνιν a: πλευρωνίαν Mich. Sa, cf. p. 11,24. 25. 12,5 9 ἢ] καὶ B ἑτέρως C: ἑτέρας a: (quod nimii aestimat Freudenthal l. c. p. 407): ἄλλους Arist. EMY κινουμένης a ἅπαξ ἰδόντες Arist. praeter L πολλάκις] μᾶλλον ex Arist. coni. Spengel 10 ἕτερα ABa (Arist. ML): ἕτεροι C (Arist. EY) 11 τινὰ Arist, cui τινὰς reddit Freud. p. 409 12 τὰ] τὸ ex Arist. Spengel, sed cf. p. 10,10 13 διὰ τοῦτο post σύνεγγυς ex Arist. Spengel 15 μέρος Ca Arist.: μέρη AB 17 ᾖδεν Ca (Mich. a): ἦρεν AB: ᾖσεν Mich. SCRP 18 τύχῃ B ὁ Ca Mich.: τὸ AB 19 τοῦ ὁμοίου καὶ ἐναντίου Ca (Mich., Arist.): τῶν ὁμοίων καὶ ἐναντίων AB 21 θερμότητος ABa: θερμοῦ C πολλῶν ABC Mich.: πολλῶν ἂν a (Dem.)

ἢ τῶν ἀντικειμένων ἢ τῶν ἐγγύς· ὅταν δὲ μὴ ζητοῦσιν ἀναμνησθῆναί του γένηται, ἐξ οὐδενὸς τούτων. ὅταν γὰρ ᾠδῆς τις μνησθεὶς ἀναμνησθῇ Σωκράτους, οὔτ' ἀφ' ὁμοίου οὔτ' ἐξ ἀντικειμένων ἢ τῶν ἐγγὺς ἐποιήσατο τὴν ἀνάμνησιν. τοῦτο δὲ σπάνιον καὶ ὀλιγάκις· τὰ γὰρ πολλὰ ἑτέρων γινομένων κινήσεων ἕπεται. πραγματευομένους δὲ τὰ περὶ τῆς ἀναμνήσεως οὐδὲν δεῖ σκοπεῖν, πῶς τὰ πόρρω ἀναμιμνῃσκόμεθα καὶ παλαιά, ἀλλὰ τὰ ἐγγύς καὶ ἃ πρὸ ὀλίγου ᾐσθόμεθα ἢ ἐδιδάχθημεν· μᾶλλον γὰρ ταῦτα πρὸς τὴν διδασκαλίαν διὰ τὴν ἐγγύτητα ἢ ἐκεῖνα. | εἷς μέντοι καὶ ὁ αὐτός ἐστι τρόπος 246 τῆς ἀναμνήσεως ἀμφοτέρων. ὡς γὰρ ἐπὶ τῶν σύνεγγυς ἀπὸ τῆς ἐνούσης ἀρχῆς ζητήσας τις συνείρει καὶ ἀναμιμνήσκεται τὰ ἑξῆς (ἀκολουθοῦσι γὰρ τῷ ἔθει αἱ κινήσεις, ὡς εἴρηται, καὶ ἥδε μετὰ τήνδε), οὕτω καὶ ὅταν τις ἀναμιμνήσκηται ὧν πάλαι τὴν ἐπιστήμην ἔλαβε. ζητήσει γὰρ κἀκεῖ ἀρχὴν λαβέσθαι κινήσεως, μεθ' ἣν ἐκείνη ἔσται. διὸ τάχιστα καὶ κάλλιστα γίνονται ἀπ' ἀρχῆς αἱ ἀναμνήσεις. ὡς γὰρ ἔχει τὰ πράγματα πρὸς ἄλληλα τῷ ἐφεξῆς, οὕτω καὶ αἱ κινήσεις, καὶ ἔστιν εὐμνημόνευτα ὅσα τάξιν τινὰ ἔχει καὶ πρῶτον καὶ δεύτερον, ὥσπερ τὰ μαθήματα καὶ μάλιστα τὰ γεωμετρικά, τὰ δὲ ἄτακτα φαύλως καὶ χαλεπῶς· ὡς γὰρ ἐπὶ τῶν αἰσθητῶν, εἰ ἐφεξῆς κεῖνται καὶ μετὰ τάξεως, καλῶς ἡ ὄψις ὁρᾷ, εἰ δὲ συγκεχυμένως, οὐ καλῶς, οὕτω καὶ ἐπὶ τῶν ἐν ψυχῇ τύπων. διαφέρει δὲ τὸ ἀναμιμνήσκεσθαι τοῦ πάλιν μανθάνειν καὶ ὅλως μάθησις ἀναμνήσεως τῷ τὸν μὲν ἐξ ἑαυτοῦ καὶ τῆς ἐνούσης αὐτῷ ἀρχῆς κινεῖσθαι ἐπὶ τὸ συνεχὲς τῇ ἀρχῇ, τὸν δὲ μὴ δι' αὑτοῦ, ἀλλὰ δι' ἄλλου, τοῦ διδασκάλου. ἔτι πολλάκις μὲν ἤδη ὁ ἀναμιμνῃσκόμενος ἀδυνατεῖ ἀναμνησθῆναί τι αὐτίκα, ζητῶν δὲ ὅμως καὶ πολυπραγμονῶν τέλος δύναται καὶ εὑρίσκει. τοῦτο δὲ γίνεται κινοῦντι πολλά, ἕως ἂν τοιαύτην κινήσῃ κίνησιν, ᾗ ἀκολουθήσει τὸ πρᾶγμα. ὡς γὰρ αἱ πολλαὶ ῥανίδες ἐπιτήδειον ἐποίησαν τὴν πέτραν, τέλος δὲ ἡ ἐσχάτη ἐκοίλανε, καὶ ἐπὶ τῆς ἐν καρδίᾳ ὑγρότητος οὕτως ἔχει· πολλάκις γὰρ κινηθεῖσα τελευταίαν κινεῖται κίνησιν, καθ' ἣν ἀνίσταται τὸ ζητού|μενον. 247 ἔστιν οὖν τὸ ἀναμιμνήσκεσθαι τὸ ἐνεῖναι δύναμιν τὴν κινοῦσαν, λέγω δὲ δύναμιν τὴν ὑπάρχουσαν ἀρχήν· αὕτη γὰρ τὴν διάνοιαν ἐποξύνει καὶ ἀνεγείρει πρὸς ἀνάλυσιν τοῦ λοιποῦ, τοῦτο δὲ ὥστ' ἐξ ἑαυτοῦ καὶ ὧν ἔνδον

7. 8 nova    8—12 Mich. p. 28,3—7    12—17 Arist. p. 451b30—452a4
16 cf. Mich. p. 28,17    17—22 Mich. p. 28,18—26    22—25 Arist. p. 452a8—10
25—31 Mich. p. 28,29—29,3    31—p. 11,1 Arist. p. 452a11. 12

1 ἐγγὺς AB (σύνεγγυς Mich.), cf. v. 3: ἑξῆς Ca    2 γένηται Ca: γένοιτο AB    5 τὰ om. C
6 καὶ τὰ παλαιὰ Spengel    7 ᾐσθήμεθα C    9 prius τῆς B Mich.: om. ACa    ἐπὶ ABa: ἀπὸ C    10 τὸ ἐφεξῆς Arist. Mich.    11 prius καὶ om. Mich. del. Freud. p. 409 cf. 8,15. 11,31    * μετὰ τὴν τήνδε A    13 λαβεῖν Arist. (Spengel) μεθ'] καθ' C    14 ἔχουσι Arist. libri praeter L    πρὸς ἄλληλα hic habet B (Arist.): post ἔχει ACa    18 κεῖνται a Mich. SCa: κεῖται C: κινεῖται AB Mich. RP καλῶς hic habet B (cf. Mich.): post ὁρᾷ Ca: om. A    23 ζητεῖν Arist. LSU    25 ἕως ἂν] ἐὰν Arist. libri praeter L    κινήσῃ κίνησιν B Arist.: κίνησιν κινήσῃ ACa (κινήσῃ in ras. C    26 ἐσχάτη ABMich.: τελευταία Ca    27 οὕτως om. a
29 δυνάμει B    31—p. 11,1 ἔχει ἔνδον C

ἔχει κινήσεων κινηθῆναι, ὥσπερ εἴρηται. διὸ δεῖ λαβέσθαι ἀρχῆς. ὅθεν τάχιστα δοκοῦσιν ἀπὸ τόπων ἐνίοτε ἀναμιμνῄσκεσθαι, τόπους δὲ ἢ ἃς ἀρχὰς ἐνεῖναι δεῖν τῇ ψυχῇ λέγομεν, ἢ τοὺς κατὰ τὰ σύστοιχα καὶ ὅμοια καὶ ἀντικείμενα, ὡς ἐν τῇ Διαλεκτικῇ εἴρηται, ἢ τοὺς σωματικοὺς καὶ τὰς ἐν τῷδε τῷ μέρει θέσεις. τὸ δὲ αἴτιον, ὅτι ταχὺ ἀπ' ἄλλου ἐπ' ἄλλο ἔρχεται, οἷον ἀπὸ γάλακτος ἐπὶ τὸ λευκόν, ἀπὸ λευκοῦ ἐπ' ἀέρα, ἀπὸ τούτου ἐφ' ὑγρόν, ἀφ' οὗ ἐμνήσθη μετοπώρου, ταύτην ἐπιζητῶν τὴν ὥραν.

Ἔοικε δὲ ὡς ἐπὶ τὸ πολὺ τὸ μέσον πάντων ἀρχῇ, καὶ ἡ τούτου εὕρεσις τὰ μέγιστα ὠφελεῖ· ποδηγεῖ γὰρ πρὸς τὴν τοῦ ζητουμένου κατάληψιν. οἷον ἐκκείσθωσαν ταυταδὶ τὰ στοιχεῖα ἰσάριθμα ὄντα καὶ ἀναλογοῦντα τοῖς νοήμασι τῆς ψυχῆς, ἃ κινεῖται ἀναμιμνῃσκομένη πρὸς εὕρεσιν τοῦ ζητουμένου, Α Β Γ Δ Ε Ζ Η Θ· καὶ ἐπεὶ μέσον τὸ Ε, ὁ τοῦτο εὑρών, εἰ μὴ ἅμα τῷ εὑρηκέναι αὐτὸ εὑρήσει καὶ ὅπερ ἐζήτει, ἐπὶ τὸ Θ ἐλθὼν μνησθήσεται. ἅπαξ γὰρ τοῦ μέσου λαβόμενον καὶ ἐπὶ τὸ ἔμπροσθεν καὶ ἐπὶ τὸ ὄπισθεν κινηθῆναι ἐνδέχεται. οὐδὲν δὲ κωλύει καὶ ὑπερβατῶς τὰς νοήσεις καὶ ἀνεστραμμένως ποιεῖσθαι, καὶ μετὰ τὸ Ε τὸ Θ νοῆσαι, καὶ ἀπὸ τοῦ Θ τὸ Ζ, εἶτα τὸ Η. εἰ μὲν οὖν ἐν τοῖς ἔμπροσθεν τὸ ζητούμενον εἴη, οὕτως εὑρήσει ἐλθὼν ἐπὶ τὸ Θ, ὥσπερ εἴρηται· εἰ δ' ἐν τοῖς ὄπισθεν, ἐλθὼν ἐπὶ τὸ Α. εἰσὶν οὖν τὰ | 248 κατὰ τὰ στοιχεῖα νοήματα ταῦτα, Ἀθῆναι, Λύκιον, οἶκος Πλάτωνος, νεομηνία, συμπόσιον, Σωκράτης, τὸ τυφθῆναι ὑπὸ Σωκράτους, λύρα.

Τοῦ δὲ ἀπὸ τοῦ αὐτοῦ ἐνίοτε μὲν μνησθῆναι, ἐνίοτε δὲ μὴ αἴτιον, ὅτι πλείους ἐνδέχεται κινηθῆναι κινήσεις ἀπὸ τῆς αὐτῆς ἀρχῆς· οἷον ἀπὸ τῆς πλευρᾶς ὁρμήσειε ἄν τις καὶ εἰς ἔννοιαν πλευρίτιδος καὶ πλευρωνίας· εἰ οὖν εἴη συνηθέστερον ἡ πλευρῖτις τῆς πλευρωνίας, ἕλξει μᾶλλον πρὸς αὐτὸ τὴν διάνοιαν, ὥσπερ τὰ λαμπρὰ τῶν σωμάτων τὴν ὄψιν. οὐ μόνον δὲ διὰ ταῦτα, ἀλλὰ καὶ εἰ ὁ μὲν παλαιὸς εἴη τῶν τύπων, ὁ δὲ νέος, κινήσει μᾶλλον ὁ νέος εἰς τὴν αὐτοῦ ἀνάμνησιν, εἰ μή που εἰς βάθος καθ' ἕξιν ἐπιστημονικὴν ὁ παλαιὸς ἐνσεσημασμένος εἴη καὶ πρὸς τούτοις συνήθης· ὥσπερ γὰρ νέος ἐστὶ τῇ καθ' ἑκάστην μελέτῃ. ὥσπερ δέ εἰσί τινα φύσει τόδε μετὰ τόδε (φύσει γὰρ τῇ τε τοῦ πυρὸς ἀναμνήσει ἡ θερμότης ἕπεται καὶ τῇ τοῦ ἡλίου ὁ φωτισμός), οὕτω καὶ ἔθει. ἔστι γὰρ ἐξ ἔθους τινά, ἅπερ ἀναμνησθέντες εὐθὺς ἀναμιμνῃσκόμεθα καὶ τὰ μετ' αὐτὰ ὄντα. τὸ

---

1—5 Mich. p. 29,4—12 5—7 Arist. p. 452a13—16 8—p. 12,8 Mich. p. 29,23—32,4, sed hic paulo liberius versatur Soph., quam solet 20 cf. Soph. De an. p. 128,13 H.

---

2 Freud. p. 410 putat, τάχιστα Themistium in Arist. textu invenisse ἃς ABa: καὶ C 3 τὰ ABa: om. C 10 ταυταδὶ ABa: ταυτὶ C 12 ἐπεὶ] ἔστω Mich., Spengel τοῦτο ABC: τοῦτο γὰρ a 16 ἀντεστραμμένας B 18 Θ] η A 19 alt. τὰ ABa: om. C 23 πλείους Ca: πλείω AB 24 ἂν om. AB 25 εἴη ABa: om. C 27 ἀλλὰ καὶ εἰ Ca: ἀλλ' εἰ καὶ AB: ἀλλὰ κἂν εἴη Mich. 28 καὶ ante καθ' add. B 30 καθ' ἑκάστην AB Mich.: καθ' ἕκαστον Ca 31 τε om. B

δὴ πολλάκις ἐθισθὲν ὥσπερ φύσις, καὶ ἐπεὶ ἐν τοῖς φύσει ἐγγίνεται ἁμαρτία καὶ παρὰ φύσιν, ἐνδέχεται τοῦτο συμβαίνειν καὶ ἐν τοῖς δι' ἔθος. εἰ δὲ τοῦτο, οὐδὲν κωλύει ἀναμνησθέντα τοῦ προτέρου καὶ ἡγουμένου ἁμαρτάνειν περὶ τὸ ὕστερον καὶ ἑπόμενον καὶ κινηθῆναι ἄλλως ἢ ὡς δεῖ, καὶ πρὸς τούτοις ὅταν ἐφέλκῃ ἀπὸ τῆς πλευρωνίας ἡ πλευρῖτις. διὰ τοῦτο καὶ ὅταν δέῃ ὄνομα ἀναμνησθῆναι, | 249 ἄλλου μὲν παρομοίου μνημονεύομεν, εἰς δὲ ἐκεῖνο σολοικίζομεν. ὁ γὰρ βουλόμενος ἀναμνησθῆναι Λεωφάνην μνησθεὶς Λεωσθένην ἐσολοίκισεν ὡς πρὸς τὸν Λεωφάνην.

Τὸ μὲν οὖν ἀναμιμνῄσκεσθαι τοῦτον συμβαίνει τὸν τρόπον, κοινῶς δὲ εἰπεῖν περὶ μνήμης καὶ ἀναμνήσεως, ὡς τὸ μέγιστον ἐν ἀμφοτέροις δεῖ γνωρίζειν τὸν χρόνον ἢ μέτρῳ καὶ ὡρισμένως (ὡς ὃ μνημονεύω ἢ ἀναμιμνῄσκομαι, χθὲς εἶδον ἢ πρὸ μηνός) ἢ ἀορίστως, ὡς ἁπλῶς πρότερον ᾔσθημαι, καὶ πάλαι ποτὲ τοῦτ' εἶδον καὶ ἤκουσα. εἰ γὰρ μὴ τοῦτο γένοιτο, συμβήσεται ἡμῖν ὑπολαμβάνειν, ὡς οὐκ ἀναμιμνῃσκόμεθα ἢ μνημονεύομεν, ἀλλὰ νῦν πρώτως ταῦτα καὶ οἴκοθεν προβαλλόμεθα. ἔστι δὲ τὸ κρῖνον τὸν πλείω καὶ ἐλάσσω χρόνον ἐν τοῖς τοιούτοις ἡ πρώτη αἰσθητικὴ ψυχὴ ἡ ἐν τῇ καρδίᾳ καθημένη. ὡς γὰρ ἡ διάνοια κρίνει τὰ μεγέθη οὐ τῷ ἀποτείνεσθαι ἔξω πρὸς ἐκεῖνα, ὥσπερ λέγουσιν ἡμᾶς ὁρᾶν οἱ δι' ἐκπομπὴν ἀκτίνων τιθέμενοι τὸ ὁρᾶν, ἀλλὰ κινοῦσα τοὺς ἀπὸ τῶν μεγεθῶν ἐναποκειμένους ἐν τῇ φαντασίᾳ τύπους (εἰ γὰρ ἐκείνως ἔκρινεν, ὅτε οὐ παρῆσαν, οὐκ ἂν ἠδύνατο κρίνειν· νυνὶ δὲ καὶ ἀπόντων κρίνει· οὐδὲν γὰρ ἕτερόν ἐστιν ἡ διάνοια ἢ νοῦ μετὰ φαντασίας ἐνέργεια), οὕτως εὔλογον καὶ τὴν αἰσθητικὴν ψυχὴν τίθεσθαι κρίνειν τὸν πλείω καὶ ἐλάσσω χρόνον ἔνδον μένουσαν καὶ κινουμένην ὑπὸ τῶν ἐνόντων τύπων. ἐπεὶ δὲ ἐν τῇ μνείᾳ τῶν περιεκτικῶν καὶ καθόλου λόγων καὶ οἱ καθ' ἕκαστα καὶ περιεχόμενοι συλλαμβάνονται, καὶ ὅταν ὅλην τινὰ περικοπὴν ἀπὸ βιβλίου καὶ μακρὰν | 250 περίοδον ἀπομνημονεύωμεν, ἐννοοῦμεν καὶ τὰ μέρη (τὸ γὰρ ὅλον ἐκ μερῶν, μέρη δὲ ἐνταῦθα κῶλα καὶ κόμματα), τίνι διοίσει ἡ διὰ πάντων ὁμοῦ ἀνάμνησις καὶ κατὰ κοινὸν τῆς ἐν μέρει; ἢ καθόσον συμβαίνει ὧδε μὲν τῇ τοῦ ὅλου μνήμῃ καὶ τὸ μέρος συνεννοεῖν, ἐκεῖ δὲ τῇ τοῦ καθόλου καὶ τὸ καθ' ἕκαστον; πρότερον μέντοι τὰ ἐντὸς καὶ ἐλάσσω νοήσει τῶν ἄκρων καὶ τῆς ὁλότητος, ἀνάλογα δὲ τὰ ἐντὸς πρός τε αὐτὰ καὶ τὰ ἄκρα τῷ ἔχεσθαι ἀλλήλων καὶ ἑξῆς εἶναι, ὡς ἐκεῖνα τὰ ἐν τῷ Τιμαίῳ· „θεοὶ θεῶν,

9 Arist. p. 452b6. 7 10—15 Mich. p. 32,11—18 15—24 Mich. p. 32,25—33,8
24—31 ipse addidit 31—p. 13,7 Mich. p. 33,11—25. 34,9. 10 liberius adhibuit

1 δὴ AB Mich.: δὲ Ca ἐπεὶ ABa: ἐπειδὴ C ἐγγίνεται ἁμαρτία AB Mich. CRP (γίνεται Mich. Sa): γιγνομένοις ἁμαρτία γίνεται Ca 3 post καὶ add. τοῦ Ca
5 ἐφέλκῃ libri Mich. CRP: ἀφέλκῃ Mich. Sa, Spengel 7 Λεωφάνην Ca (Mich. SCa): λεωφάνη A: λεωφάνους B (Mich. RP[1]) 9 τοῦτον—τρόπον ABa (Arist.): τοῦτον τὸν τρόπον συμβαίνει C 10 εἶπεν conicio (λέγει Mich.) 13 γένητο AB
15 πρώτως B Mich.: πρῶτον A (coni. Spengel): πρότερον Ca 20 ὅτε Ca Mich.: ὅταν AB 21 ἠδύνατο AB Mich.: ἐδύνατο Ca ἀπόντων] ἀπὸ τούτων B
26 βυβλίου a 31 πρότερον B Mich.: πρῶτον ACa 32 τε ABa: om. C

ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γε ἐθέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τὸ δέ γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔτι γε μὴν λυθήσεσθε οὐδὲ τεύξεσθε θανάτου μοίρας". τῷ μὲν οὖν δὴ ἅπαντι νοηθέντι συννενόηται καὶ τὸ μέρος, τὸ μέντοι „θεοὶ θεῶν" πρότερον ἐπῆλθεν ἡ διάνοια τοῦ μετ' αὐτό, κἀκεῖνο τοῦ ἐφεξῆς, καὶ πάντων ὕστερον τὸ κοινόν· τὰ γὰρ καθ' ἕκαστα ὁμοῦ τὸ ὅλον. ὡς δὲ ἐπὶ τῶν πραγμάτων καὶ νοημάτων ἔχει, καὶ ἐπὶ τοῦ χρόνου ζητεῖν εὔλογον· τοῖς γὰρ νοήμασι καθάπερ ὁ χρόνος συνείρεται, καὶ ἡ γνῶσις ἅμα· ὅθεν καὶ ὡς τὸ ἔλαττον πρᾶγμα πρὸς τὸ μεῖζον ἔχει, καὶ ὁ ἐλάττων χρόνος πρὸς τὸν μείζονα ὁμοίως ἕξει, καὶ ἐναλλάξ, ὡς τὸ πρᾶγμα ἅπαν πρὸς ἅπαντα τὸν χρόνον ἔχει, καὶ τὰ μέρη πρὸς τὰ μέρη.

Δῆλον δ' ἂν εἴη μᾶλλον ἐπὶ τῆς διαγραφῆς. | ἐκκείσθωσαν δύο τρί- 251
γωνα κάτω τὰς κορυφὰς ἔχοντα καὶ ἐμβεβλημένον ἐν ἑτέρῳ τὸ ἕτερον καὶ περιέχον μὲν ἔστω τὸ ΚΜΝ, τὸ δὲ ΑΒΕ περιεχόμενον, καὶ τετμήσθω ἡ ΑΒ κατὰ τὰ ΓΖ σημεῖα, καὶ ἐπεζεύχθωσαν κατὰ τὴν ἀντικειμένην τοῦ αὐτοῦ τριγώνου πλευρὰν καὶ ἐπ' εὐθείας ἡ ΓΔ ΖΗ, τετμήσθω δὲ καὶ ἡ ΚΜ κατὰ τὰ ΘΛ, καὶ ἐπεζεύχθωσαν πρὸς τὴν ἐξ ἐναντίας τοῦ αὐτοῦ τριγώνου πλευρὰν καὶ ἐπ' εὐθείας ἡ ΘΞ ΛΡ, κείσθωσαν δὲ καὶ ἀμφοτέρων τῶν τριγώνων αἱ τμήσεις τῶν γραμμῶν πρὸς εὐθεῖαν. ἔστω δὲ τὸ ἔλασσον καὶ ἐντὸς ἅπερ ἡ ψυχὴ νοεῖ πράγματα, τὸ δὲ μεῖζον καὶ ἐκτὸς ὁ χρόνος ὁ συναισθόμενος ταῖς νοήσεσιν. ὥσπερ οὖν ὁ κινηθεὶς τὴν ΑΒ ΒΕ ἅμα καὶ τὴν ΑΓ ΓΔ κεκίνηται (ἐντὸς γὰρ καὶ περιέχονται), οὕτως ὁ τὴν ΑΓ ΓΔ καὶ τὴν ΑΖ ΖΗ. ὅπερ γὰρ ἡ ΑΓ πρὸς τὴν ΑΒ, τοῦτο ἡ ΓΔ πρὸς τὴν ΒΕ· ἀνάλογα γάρ, ὅθεν καὶ ἐναλλάξ. πάλιν ὡς ἡ ΑΖ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΖΗ πρὸς τὴν ΓΔ, καὶ ἐναλλάξ. λοιπὸν ὥσπερ ὁ νοῶν τὰς ὅλας |
τὴν ΑΒ καὶ τὴν ΒΕ συννοεῖ καὶ τὰς ΑΓ ΓΔ μέρη οὔσας, οὕτως ὁ τὰς 252
ΑΓ ΓΔ τὰς ΑΖ ΖΗ. ὡς δὲ ἐπὶ τούτων ἔχει, καὶ ἐπὶ τοῦ χρόνου. ὁ γὰρ κινηθεὶς τὰς ΚΜ ΜΝ χρονικὰς γραμμάς, καὶ τὰς ΚΘ ΘΞ κεκίνηται,




10. 11 cf. Mich. p. 35,3—5 7—10. 11—24 ipse exposuit, fort. Aristotelis vel Michaelis figuram secutus 25—p. 14,5 cf. Mich. p. 34,23—36,13

2 οὖν Ca Mich.: γὰρ AB δὴ om. Ca (Mich. a) δέ om. C (Mich. a) μὴν] μὴ B γε μὴν ABa (Mich.): μὲν δὴ C (Platonis libri) 4 οὐδὲ Ca Mich.: οὔτε AB 5 μοίρας Ca Mich.: μοῖραν AB τῷ] τὸ Ca 6 πρότερον coni. Spengel (cf. ad. p. 12,31): πρῶτον libri 9 καθάπαξ B 12 ἅπαν πρός om. a 20 ἡ (ante KM) om. Spengel 27 συναισθανόμενος conicio, cf. ad p. 14,13 28 καὶ post οὕτως add. C 31 οὕτως—ΓΔ (sim. e coni. Spengel) om. a ἡ ACa: ὁ B 32 καὶ (post AB) om. B 33 ἔχει om. a

καὶ ἔτι τὰς ΚΛ ΛΡ. ἦν δὲ τοῦ μὲν ΑΒ ΒΕ πράγματος ὁ ΚΜ ΜΝ χρόνος (ἅμα γὰρ τῇ ἐκείνου νοήσει καὶ οὗτος συνήγετο), τοῦ δὲ ΑΓ ΓΔ ὁ ΚΘ ΘΞ χρόνος, τοῦ δὲ ΑΖ ΖΗ ὁ ΚΛ ΛΡ· ἅμα γὰρ πάντα καὶ ἀνάλογον. φανερὸν οὖν ὡς μνημονεύοντες ἢ ἀναμιμνησκόμενοι ἐξ ἀνάγκης καὶ τὸν πληροῦντα χρόνον συνεννοούμεθα.

Διττῶς δὲ συμβαίνει τὴν ἀπάτην κατὰ μνήμην γίνεσθαι, ἕνα μὲν τρόπον, ὅταν ἀνταλλαγὴ γένηται περὶ τὰ μνημονευόμενα καὶ τοὺς τύπους, οἷον εἴπερ ἡ ψυχὴ ὁρῶσα τὸ τοῦ Θεαιτήτου φάντασμα ὑπολάβοι Σωκράτους εἶναι· τότε γὰρ δόξει μνημονεύειν Σωκράτους Θεαιτήτου μεμνημένη· οὐδὲν γὰρ κωλύει διαψευσθῆναί τινα καὶ δοκεῖν μνημονεύειν μὴ μνημονεύοντα. δεύτερον δὲ ὅταν μνημονεύω μέν του, μὴ συναίσθωμαι δὲ δι' ἄλλην τινὰ κίνησιν, ὥσπερ πολλάκις καὶ διαλογιζόμενός τι καὶ ἐννοῶν τὸν ἔμπροσθεν ἱστάμενον οὐχ ὁρῶ, ὡς ἐοικέναι με τότε τῷ ὀνειρώττοντι καὶ μὴ συναισθανομένῳ ὅτι ὀνειρώττει. οὐκ ἄρα οὖν ἔστι μνήμη ἢ ἀνάμνησις μὴ τῇ τοῦ πράγματος κινήσει τῆς τοῦ χρόνου ἐφεπομένης, καὶ ἐπὶ τούτοις συναίσθησις. τοῦ δὲ χρόνου, ὡς εἴρηται, ὁτὲ μὲν ἀορίστως, ὁτὲ δ' ὡρισμένως μεμνήμεθα. ὁτὲ μὲν γὰρ μέτρῳ οὐ μέμνηνται αὐτοῦ, οἷον ὅτι τρίτην ἡμέραν ἔχω πράξας ἢ πρὸ μηνός, ἀλλ' ἁπλῶς ὅτι πάλαι ποτὲ τόδε ἐποίησα· ὁτὲ δὲ καὶ μέτρῳ. σημεῖον δὲ τοῦ μεμνῆσθαι καὶ ἄνευ μέτρου τὸ εἰωθὸς λέγειν, ὅτι μέ|μνηνται μέν, πότε δὲ οὐκ ἴσασιν, ὅταν μὴ γνωρίσωσι τῷ ὡρισμένῳ μέτρῳ.

Ὅτι μὲν οὖν οὐχ οἱ αὐτοὶ μνημονικοὶ καὶ ἀναμνηστικοί, ἐν τοῖς πρότερον εἴρηται, διαφέρει δὲ καὶ τὸ μνημονεύειν τοῦ ἀναμιμνῄσκεσθαι οὐ κατὰ τὸν χρόνον μόνον (πρότερον γὰρ ἡ μνήμη τῆς ἀναμνήσεως), ἀλλ' ὅτι καὶ τοῦ μὲν μνημονεύειν καὶ τῶν ἄλλων ζῴων μετέχει πολλά, τῆς δὲ ἀναμνήσεως οὐδὲν ὡς εἰπεῖν τῶν γνωριζομένων ζῴων πλὴν ἄνθρωπος· ᾧ γὰρ τὸ ἀναμιμνῄσκεσθαι, τούτῳ καὶ τὸ συλλογίζεσθαι. ὡς γὰρ ὁ συλλογιζόμενος τῇδε τήνδε συνάπτει πρότασιν, καὶ ὁ ἀναμιμνησκόμενος τὰ ἐλάττω τοῖς μείζοσιν. ᾧ δὲ τὸ συλλογίζεσθαι, τούτῳ καὶ τὸ ζητεῖν, τὸ δέ, οἷς βουλή. ᾧ ἄρα ἀνάμνησις, τούτῳ καὶ βούλησις· μόνος δὲ ὁ ἄνθρωπος βουλεύεται, μόνος ἄρα καὶ ἀναμιμνῄσκεται. τὸ μὲν οὖν ἀναμιμνῄσκεσθαι ὅτι

6—9 Mich. p. 37,6—10 10 Arist. p. 452b 25. 26 11—17 Mich. p. 37,15—20. 32—38,2 17—19 cf. Mich. p. 32,13—15 19—26 Arist. p. 453a 2—9 26—p. 15,25 Mich. p. 38,10—40,3

1 τὰς ABa: om. C 3 θ ζ a (corr. Spengel) δὲ (ante ΑΖ) om. B 5 συνεννοούμεθα Ba, e corr. A: συνεννοῦμεν C, prius A 7 ἀναλλαγὴ a: ἐναλλαγὴ C 8 ὑπολάβῃ AB 11 μνημονεύωμεν Ca συναισθώμεθα Spengel: συναίσθωσαν a ἄλλην τινὰ B(A) Mich.: ἑτέραν Ca 12 ὥσπερ AB Mich.: ὡς Ca 13 ὡς ABa: ἀλλ' C τότε AB Mich.: om. Ca 13. 14 συναισθανομένῳ A (αἰσθανομένῳ Mich.): συναισθομένω BCa 14 ἔστι AB Mich.: ἔσται Ca 15 καὶ ante τῆς add. Ca 19 καὶ (ante μέτρῳ) om. B 20 δὲ cum Arist. L (δὲ μέντοι S, μέντοι ceteri) ὅτε B 22 ἐν τοῖς om. Arist. LS 23 διαφέρειν B τοῦ μνημονεύειν τὸ Arist. EMY 26 γνωρίμων Arist. LSU 28 οὕτω ante καὶ add. C 30 ante βουλή, ἀνάμνησις, βούλησις ter add. ἡ C

διανοίας ἐστί, δέδεικται· τὸ γὰρ βουλεύεσθαι νοῦ. ἀλλ' ἐπεὶ χωρὶς φαντασίας τοῦτο ποιῆσαι ἀδύνατον (τὰ γὰρ ἐν τῇ καρδίᾳ εἴδωλα καὶ τὸ ἐν αὐτῇ πνεῦμα κινοῦσα ἀναμιμνήσκεται), σωματικόν τι τὸ πάθος ἐστί, καὶ ἡ ἀνάμνησις διανοίας ὁρμὴ ἐν τοιούτῳ φαντάσματι· ὡς γὰρ ὁ βουλόμενος ἀναγνῶναι τὸ βιβλίον ζητεῖ καὶ ὁρᾷ τὰ ἐν αὐτῷ γεγραμμένα, οὕτω καὶ ἐν τούτοις τῷ μὲν ἀναγνώσοντι ἔοικεν ἡ διάνοια, ἡ καρδία δὲ τῷ βιβλίῳ, τοῖς δὲ γράμμασι τὰ φαντάσματα, καὶ ἔστι σημεῖον τοῦ σωματικὸν εἶναι πάθος τὸ τῆς μνήμης καὶ ἀναμνήσεως τὸ παρενοχλεῖσθαι ἐνίους ἄκοντας, ἐπειδὰν πειρώμενοι οὐ δύνωνται ἀναμνησθῆναι. καίτοι ἐπέχοντες πάνυ τὴν διάνοιαν καὶ μὴ περαιτέρω ζητεῖν ἐπιτρέποντες ὅμως οὐδὲν ἧττον ζητοῦσιν, ὡς καθάπαξ κινηθείσης τῆς καρδίας ἢ τοῦ ἐν αὐτῇ ὑγροῦ ἐν τῷ ἐπιχειρεῖν ἡμᾶς ἀναμιμνήσκεσθαι μηκέτι ῥᾳδίως ἐθέλειν ἵστασθαι τοιοῦτόν τι πάσχοντες, ὥσπερ ἂν ἡμῶν μὴ θε|λόντων ἕλκοι τις πρὸς αὐτὸν ἐστράφθαι. μάλιστα 254
δ' ἐνοχλοῦνται οἱ μελαγχολικοὶ ὑπὸ τῶν τοιούτων φαντασμάτων· εὐκίνητοι γὰρ ὄντες ὡς πολλοῦ καὶ παχέος ἐν καρδίᾳ πεπληρωμένοι πνεύματος, ἐπὰν ἑνὸς φαντάσματος κίνησις γένηται, εὐθὺς σωρηδὸν ἀνεγείρεται πάμπολλα διὰ τὴν ἐν τῷ ὑγρῷ τῆς καρδίας εὐκινησίαν. ἐπεὶ δὲ πολλάκις ἀναμνησθῆναι βουλόμενοι οὐ δυνάμεθα ἢ οὐδ' ὅλως ἢ οὐ τότε, ὅτε βουλόμεθα, αἴτιον τὸ μὴ ἐφ' ἑαυτοῖς εἶναι, ἀλλὰ καθάπερ τοῖς βάλλουσι λίθον οὐκ ἔστιν ἐπ' αὐτοῖς στῆσαι τῆς φορᾶς, οὕτω καὶ ὁ ἀναμιμνησκόμενος καὶ ὁ θηρεύων σωματικόν τι κινεῖ, ἐν ᾧ τὸ πάθος (οὐδὲν γὰρ ἀσώματον κινεῖται καθ' αὑτό)· διὸ καὶ οὐκ ἐφ' αὐτῷ στῆσαι. καὶ ὥσπερ τῷ ἀναγνῶναι προθεμένῳ τόδε τὸ χωρίον οὐκ ἤρκεσε μόνη ἡ τοῦ βιβλίου ἀνάπτυξις, εἰ μὴ καὶ τὸν τόπον εὕροι, οὕτω καὶ ἐπὶ διανοίας καὶ τῶν ἐν τῇ καρδίᾳ φαντασμάτων ἔχει· οὐ γὰρ μνησθήσεται κινοῦσα τὰ εἴδωλα, εἰ μὴ ἐντύχοι ὃ ζητεῖ. ὅθεν καὶ μάλιστα ἐνοχλοῦνται, ὡς εἴρηται, οἷς ἂν ὑγρότης τύχῃ ὑπάρχουσα περὶ τὸν αἰσθητικὸν τόπον· οὐ γὰρ ῥᾳδίως παύονται κινηθέντες, ἕως ἂν ἐπέλθωσι τὸ ζητούμενον καὶ εὐθυπορήσῃ ἡ κίνησις. διὸ καὶ ὀργαὶ καὶ φόβοι, ὅταν τι κινήσωσιν, ἀντικινούντων πάλιν ἐκείνων οὐ καθίστανται, ἀλλ' ἐπὶ τὸ αὐτὸ ἀντικινοῦσι μέχρι του· οἷον ἡ καρδία κινηθεῖσα ἐν ταῖς ὀργαῖς καὶ τοῖς θυμοῖς κρίναντος τοῦ λογισμοῦ ὑπὸ τοῦ ζέσαντος αἵματος καὶ ὡς στερροτέρα μᾶλλον θερμανθεῖσα ἀντιθερμαίνει τὸ αἷμα. καὶ ἐν τοῖς φόβοις δὲ γινομένων τῶν ἐναντίων, ψύξεως καὶ συστολῆς, οὐ

---

18—20 Arist. p. 453a21—23  26—30 Arist ib. 23—27  30—p. 16,1 cf. Mich. p. 40,12—26

---

1 βουλεύεσθαι ABa: βούλεσθαι C  5 et 6 βυβλίον et βυβλίῳ a  6 μὲν ἀναγνώσοντι ABa: μὲν οὖν ἀναγινώσκοντι C (ἀναγινώσκοντι Mich.)  7 ἔστι Ca: ἔτι AB  9 ἐπειδὰν—ἀναμνησθῆναι B (Mich.): om. ACa  coniunctio desideratur  11 ὡς] καὶ B  12 οὐκέτι ῥαδίως ἱστάμεθα B  13 ἕλκῃ Mich.  18 οὐδ' B Mich.: om. ACa  22 αὐτῷ ABa: ἑαυτῷ C  23 βυβλίου a  26 ἂν Ca Arist.: om. AB τύχῃ C (Spengel) Arist.: τύχοι ABa  28 εὐθυπορήσῃ Ca Arist.: εὐθυπορήσει B (Arist. E): εὐθυπορήσοι A, ut vid.  29 τι κινήσωσιν] κινηθῶσιν Arist. SU  29 καὶ (ante φόβοι) om. A

ῥᾳδίως ἀποκαθίστανται, καὶ ἔοικε τὸ πάθος | τοῖς ὀνόμασι καὶ μέλεσι καὶ 255
λόγοις· ὅταν γὰρ διὰ στόματος αὐτῶν γένηταί τι σφόδρα, παυσαμένοις καὶ οὐ βουλομένοις πάλιν ᾄδειν ἢ λέγειν ἐπέρχεται. εἰσὶ δὲ καὶ οἱ τὰ ἄνω μείζω ἔχοντες καὶ οἱ νανώδεις ἀμνημονέστεροι τῶν ἐναντίων διὰ τὸ πολὺ βάρος ἔχειν ἐπὶ τῷ αἰσθητικῷ καὶ μήτ' ἐξ ἀρχῆς τὰς κινήσεις δύνασθαι ἐμμένειν, ἀλλὰ διαλύεσθαι, μήτε ἐν τῷ ἀναμιμνήσκεσθαι ῥᾳδίως εὐθυπορεῖν. οἱ δὲ πάμπαν νέοι καὶ οἱ λίαν γέροντες ἀμνήμονες διὰ τὴν κίνησιν· οἱ μὲν γὰρ ἐν αὐξήσει, οἱ δὲ ἐν φθίσει πολλῇ εἰσιν. ἔτι δὲ τά γε παιδία καὶ νανώδη εἰσὶ μέχρι πόρρω τῆς ἡλικίας. περὶ μὲν οὖν μνήμης καὶ τοῦ μνημονεύειν καὶ τίς ἡ φύσις αὐτῶν καὶ τίνι τῶν τῆς ψυχῆς μνημονεύει τὰ ζῷα, καὶ περὶ τοῦ ἀναμιμνήσκεσθαι, τί ἐστι καὶ πῶς γίνεται καὶ διὰ τίνα αἰτίαν, εἴρηται.

---

1—12 Arist. p. 453a28—453b11

---

2 αὐτῶν γένηταί τι cum Arist. U (γένηταί τι αὐτῶν M, τι αὐτῶν γένηται LS, γένηταί τις EY) 3 οἱ om. Arist. LU 7 καὶ λίαν Arist. 8 εἰσιν om. Arist. LSU post ἔτι add. δὲ Ca (Arist. MLSU): om. AB γε AB (Arist.): om. Ca 11 τίνα αἰτίαν Ca (Arist. LSU): τίνας αἰτίας AB (Arist. EMY)

1. Περὶ δὲ ὕπνου καὶ ἐγρηγόρσεως σκοπητέον, τίνα τε τυγχάνει καὶ ἐν ποίῳ μορίῳ τῆς ψυχῆς, καὶ πότερον ἴδια τῆς ψυχῆς ἢ καὶ τοῦ σώματος, καὶ διὰ τίν' αἰτίαν ὑπάρχει τοῖς ζῴοις, καὶ πότερον ἅπαντα κεκοινώνηκεν ἀμφοῖν, ἢ τὰ μὲν ὕπνου τὰ δὲ θατέρου μόνον, πρὸς δὲ τούτοις τί ἐστι τὸ ἐνύπνιον, καὶ διὰ τίνα αἰτίαν οἱ καθεύδοντες ὁτὲ μὲν ὀνειρώσσουσιν, ὁτὲ δ' οὐκ ὀνειρώσσουσι, καὶ πότερον συμβαίνει μὲν ἀεὶ τοῖς καθεύδουσιν ἐνυπνιάζειν, ἀλλ' οὐ μνημονεύουσιν, ἢ οὔ, κἂν εἰ συμβαίνοι, διὰ τίνα αἰτίαν γίνεται, καὶ πότερον τὰ μέλλοντα ἐνδέχεται προορᾶν ἢ οὐκ ἐνδέχεται, καὶ τίνα τρόπον, εἰ ἐνδέχεται, καὶ πότερον τὰ μέλλοντα ὑπ' ἀνθρώπου πράσσεσθαι μόνον, ἢ καὶ ὧν τὸ δαιμόνιον τὴν αἰτίαν ἔχει, καὶ φύσει γίνεται ἢ ἀπὸ ταὐτομάτου. καὶ πρῶτον μέν γε τοῦτο φανερόν, ὅτι τῷ αὐτῷ μορίῳ τοῦ ζῴου ἥ τε ἐγρήγορσις ὑπάρχει καὶ ὁ ὕπνος· ἀντίκεινται γάρ, καὶ φαίνεται στέρησίς τις ὁ ὕπνος τῆς ἐγρηγόρσεως. ἀεὶ δὲ τὰ ἔσχατα καὶ ἀντικείμενα καὶ ἐπὶ τῶν τεχναστῶν καὶ ἐπὶ τῶν φυσικῶν ἐν τῷ αὐτῷ δεκτικῷ φαίνεται γινόμενα καὶ τοῦ αὐτοῦ πάθη εἰσί, λέγω δ' οἷον ἁρμονία | καὶ 257 ἀναρμοστία περὶ τὸ αὐτό, καὶ τάξις καὶ ἀταξία, ἔτι δὲ νόσος καὶ ὑγεία περὶ τὸ αὐτό, ἐν σώματι γάρ· αἶσχος δὲ καὶ κάλλος ἐν τοῖς ὀργανικοῖς, ἐν νεύροις δὲ ἰσχὺς καὶ ἀσθένεια, καὶ περὶ ὄψιν αὖ ὄψις καὶ τυφλότης, καὶ ἐν ἀκοῇ ὁμοίως. ἔτι δὲ καὶ ἐκ τῶνδε δῆλον· ᾧ γὰρ τὸν ἐγρηγορότα γνωρίζομεν, τούτῳ καὶ τὸν καθ' ὕπνον. γνωρίζομεν δὲ τὸν ἐγρηγορότα τῷ αἰσθάνεσθαι ἢ τῶν ἐκτός τινος κινήσεως, ὡς ὁρᾶν ἢ ἀκούειν, ἢ τῶν ἐντὸς καὶ ἐν αὐτῷ, ὡς λογίζεσθαι καὶ φαντάζεσθαι· καὶ ὑπνώττοντα δ' αὖ λέγομεν τὸν μήτε τῶν ἐξωτερικῶν τινα ἐνεργοῦντα κινήσεων μήτε τῶν ἔνδοθεν.

---

2—14 Arist. p. 453b8—27 14—20 cf. Mich. p. 42,16—20 et Arist. v. 27—31 20. 21 Arist. p. 453b31—454a2 21—p. 18,3 Mich. p. 43,5—10 liberius adhibuit

---

1 θεμιστίου παράφρασις εἰς τὸ περὶ ὕπνου καὶ ἐγρηγόρσεως ἀριστοτέλους Ca 2 σκεπτέον B (cf. Arist.) 5 ὕπνου] θατέρου Arist. EMY μόνον B Arist.: μόνου ACa 6 οἱ om. Arist. LSU 7 ὀνειρ. om. Arist. LSU τοῖς om. LSU 8 κἂν] καὶ Arist. LSU 10. 11 πράσσεται a (corr. iam Spengel) 12 ἀπ' αὐτ. Arist. EMSU 13 ἀντίκεινται Ca (Arist.): ἀντίκειται AB (Arist. M) 14 τις στέρησις a ἀεὶ δὲ] διὸ Ca ἔσχατα] ἐναντία Arist. EMY 18 καὶ αἶσχος καὶ Ca 21 καθ' ὕπνον cum Arist. SUL (καθυπνοῦντα EM, ὑπνοῦντα Y)

αἴσθησις δὲ καὶ ἀναισθησία ὡς ἕξις καὶ στέρησις, αὗται δὲ περὶ τὸ αὐτὸ καὶ ἓν ὑπάρξουσι· καὶ ὕπνος ἄρα καὶ ἐγρήγορσις τὸ αὐτὸ ἕξουσιν ὑποκείμενον.

Ἐπεὶ δ' οὔτε τῆς ψυχῆς ἴδιον τὸ αἰσθάνεσθαι οὔτε τοῦ σώματος (οὗ γὰρ ἡ δύναμις, τούτου καὶ ἡ ἐνέργεια, ἡ δὲ λεγομένη ἐνεργείᾳ αἴσθησις κίνησίς τίς ἐστι διὰ τοῦ σώματος τῆς ψυχῆς), φανερὸν ὅτι οὔτε τῆς ψυχῆς τὸ πάθος ἐστὶν ἴδιον, οὔτ' ἄψυχον σῶμα δυνατὸν αἰσθάνεσθαι, ἀλλὰ τοῦ συναμφοτέρου. διωρισμένων δὲ περὶ τῶν λεγομένων ὡς μορίων πρότερον καὶ τοῦ μὲν θρεπτικοῦ χωριζομένου τῶν ἄλλων, τῶν δ' ἄλλων οὐδενὸς ἄνευ τούτου ὄντος, δῆλον ὡς ὅσα μὲν αὐξήσεως καὶ φθίσεως μετέχει μόνον τῶν ζώντων, οἷον τὰ φυτά, τούτοις οὐχ ὑπάρχει ὕπνος οὐδὲ ἐγρήγορσις· οὐ γὰρ ἔχουσι τὸ αἰσθητικὸν μόριον, ἐν ᾧ ταῦτα. τὸ δὲ αἰσθητικὸν τοῦ θρεπτικοῦ ὅτι ἕτερον τῷ εἶναι καὶ τῇ δυνάμει, φανερόν. εἰ δὲ καὶ τῷ ὑποκειμένῳ, οὐ παντί γε δῆλον. ἔτι τῶν θνητῶν καὶ ὑπὸ σελήνην καὶ δεκτικῶν ὕπνου καὶ ἐγρηγόρσεως | οὐδέν ἐστιν, ὃ ἀεὶ ἐγρήγορεν ἢ ἀεὶ καθεύδει· ἀλλὰ 258 τοῖς αὐτοῖς ὑπάρχει τῶν ζῴων ἀμφότερα τὰ πάθη ταῦτα, καὶ οὐδέν ἐστι ζῷον ἀμφοτέρων στερούμενον· τοῦτο γάρ ἐστι τῶν ἀψύχων. ὑπεξαιρείσθω μέντοι κἂν τούτοις τὰ θεῖα ἐνεργοῦντα ἀεί· ἡ γὰρ ἐν αὐτοῖς ἐγρήγορσις ἀναντίθετος. ὕπνος δὲ καὶ ἐγρήγορσις, ὡς πολλάκις εἴρηται, πάθη περὶ αἴσθησιν του πρώτου αἰσθητικοῦ, τῆς καρδίας. ἔτι ὅσων ἐστὶν ἔργον τι κατὰ φύσιν, ὅταν ὑπερβάλλῃ τὸν χρόνον, καθ' ὃν πέφυκε τοῦτο ποιεῖν, ἀνάγκη κάμνειν καὶ μὴ δυνάμενον πρόσω βαίνειν παύεσθαι. φέρουσι γὰρ τὰ ὑποζύγια φόρτον ἄχρι τινός, ἢν δέ τις περαιτέρω βιάσαιτο, πίπτουσι· καὶ ἀναγνώσεταί τις ἕως τινός, εἶτα καμεῖται· καὶ ἀνδριαντοποιὸς καὶ τέκτων καὶ πᾶς ὁστισοῦν ἐνεργήσει μέχρι του, εἶτα στάσις τὴν κίνησιν διαδέξεται. κατὰ τὰ αὐτὰ δὲ καὶ ὄμματα καὶ ὦτα, ἔτι δὲ χεῖρες καὶ πόδες καὶ ἅπαν ὀργανικόν. εἰ δή τινός ἐστιν ἔργον τὸ αἰσθάνεσθαι, συνεχῶς ἀδυνατήσει καὶ οὐκέτι τοῦτο ποιήσει· ἐκμετρήσαντα γὰρ τὰ μόρια τὸν πληροῦντα χρόνον τὴν δύναμιν παύσεται. εἰ τοίνυν ἐναντίον τῷ ἐγρηγορέναι τὸ καθεύδειν, τῶν δ' ἀμέσων ἐναντίων ἢ τῶν καθ' ἕξιν καὶ στέρησιν ἂν θάτερον τῷ δεκτικῷ μὴ παρῇ, ἀνάγκη παρεῖναι θάτερον, καὶ τῆς ἐγρηγόρσεως μὴ παρούσης παρέσται ὁ ὕπνος· καὶ εἰ ἡ ὑπερβολὴ τοῦ ἐγρηγορέναι ὁτὲ μὲν

4—12 Arist. p. 454a7—17 7 τοῦ συναμφοτέρου e Mich. p. 43,21 12—17 Mich. p. 43,31—44,18 17—19 ipse addidit 19. 20 cf. Mich. p. 44,18—21 20—27 Mich. p. 44,29—45,7 27. 28 cf. Arist. p. 454a28—32 28. 29 ipse addidit 29—32 Mich. p. 45,10—12 32—p. 19,11 Mich. p. 46,4—2

7 ἐστὶν om. B 8 δὲ περὶ τῶν λεγομένων B Arist.: om. A: δ' Ca πρότερον posuit ut Arist. EMY 10 ὄντος om. Arist. libri praeter U 13 τῇ] τὸ B δὲ ABa: om. C 14 prius καὶ del. Spengel 19 ἀναντίλεκτος coni. Spengel, sed v. Soph. Comm. XXIII 2 p. 23,21 21 ὑπερβάλλῃ Ca (Mich. Sa): ὑπερβάλῃ AB (Mich. CRP) 23 βιάσηται Mich. 27 καὶ—αἰσθάνεσθαι om. cum Arist. LSU, supplet Spengel 30 ἐναντίον Spengel 31 καὶ del. Spengel 32 ὁ B (Mich.): om. ACa

νοσώδης (διετέλεσαν γάρ τινες καὶ ἕως ἡμερῶν ἐννέα ἄϋπνοι δι' ἀσθένειαν), ὁτὲ δὲ ἄνευ νόσου, ὥσπερ οἱ δι' ἴσχνανσιν ἢ ξήρανσιν αὐτὸ τοῦτο παθόντες, καὶ ἡ ἀδυναμία ἄρα καὶ ὁ μακρὸς ὕπνος ὁτὲ μὲν | διὰ νόσον, ὁτὲ δ' 259
ἄνευ νόσου γενήσεται· πυρέξας γάρ τις ἐπὶ τρισὶν ἡμέραις κοιμώμενος διετέλεσε, τά τε βρέφη καὶ ὅσοι τὴν δίαιταν ἢ τὴν κρᾶσιν ὑγρότεροι ἐπὶ πλεῖστον ὅσον ὑπνώττουσιν. εἰ δὲ ταῦτα οὕτω, πᾶν ἄρα τὸ ἐγρηγορὸς καθεύδει καὶ τὸ καθεῦδον ἐγρήγορεν. εἰ γὰρ ὁ ὕπνος πάθος τί ἐστι τοῦ αἰσθητικοῦ μορίου καὶ οἷον δεσμός τις καὶ ἀκινησία, αἰσθητικὸν δὲ τὸ δυνατὸν αἰσθάνεσθαι κατ' ἐνέργειαν, πᾶσα δὲ δύναμις ἄγεται εἰς ἐνέργειαν, ἀνάγκη ἄρα τὸ καθεῦδον καὶ δύναμιν γρηγορῆσαι ἔχον ἐγρηγορὸς γενέσθαι, καὶ οὐδεὶς ὕπνος ἀνέγερτος. τὰ μὲν οὖν ἄλλα σχεδὸν πάντα δῆλα κοινωνοῦντα ὕπνου, καὶ πλωτὰ καὶ πτηνὰ καὶ πεζά· καὶ γὰρ τὰ τῶν ἰχθύων γένη πάντα καὶ τὰ τῶν μαλακίων ὦπται καθεύδοντα καὶ τἆλλα πάνθ' ὅσ' ἔχει ὀφθαλμούς· καὶ γὰρ τὰ σκληρόφθαλμα φανερὰ καὶ τὰ ἔντομα κοιμώμενα, βραχύυπνα δὲ τὰ τοιαῦτα πάντα· διὸ καὶ λανθάνοι ἄν τινα πολλάκις, πότερον μετέχουσι τοῦ καθεύδειν ἢ οὔ. τῶν δ' ὀστρακοδέρμων κατὰ μὲν τὴν αἴσθησιν οὐδέπω γέγονε φανερόν, εἰ καθεύδουσιν, εἰ δέ τῳ πιθανὸς ὁ λεχθεὶς λόγος, τούτῳ πεισθήσεται. ὅτι μὲν οὖν ὕπνου κοινωνεῖ τὰ ζῷα πάντα, φανερὸν ἐκ τούτων· τῷ γὰρ αἴσθησιν ἔχειν ὥρισται τὸ ζῷον, τῆς δ' αἰσθήσεως τρόπον μέν τινα τὴν ἀκινησίαν καὶ οἷον δεσμὸν τὸν ὕπνον φαμέν, τὴν δὲ λύσιν καὶ τὴν ἄνεσιν ἐγρήγορσιν. τῶν δὲ φυτῶν οὐδὲν οἷόν τε κοινωνεῖν οὐδετέρου τῶν παθημάτων· ἄνευ μὲν γὰρ αἰσθήσεως οὐχ ὑπάρχει οὔθ' ὕπνος οὔτ' ἐγρήγορσις· οἷς δ' αἴσθησις ὑπάρχει, τούτοις καὶ τὸ λυπεῖσθαι καὶ χαίρειν, οἷς δὲ ταῦτα, καὶ ἐπιθυμία. τοῖς δὲ φυτοῖς οὐδὲν ὑπάρχει τούτων. οὐδεὶς δὲ προσαναγκάσει λόγος ἥδεσθαι ἢ λυπεῖσθαι τὰ φυτὰ ἢ ὅλως ἐπι|θυμεῖν ἢ αἰσθάνεσθαι, οὐδ' ἕπεται παντὶ θρεπτικῷ τὸ 260
αἰσθητικόν, ὥσπερ τὸ ἔμπαλιν, ἀλλὰ κεχώρισται. σημεῖον δ' ὅτι καὶ τὸ ἔργον τὸ αὑτοῦ ποιεῖ τὸ θρεπτικὸν μόριον ἐν τῷ καθεύδειν μᾶλλον ἢ ἐγρηγορέναι· τρέφεται γὰρ καὶ αὔξεται μᾶλλον τότε ὡς οὐδὲν προσδεόμενα πρὸς ταῦτα τῆς αἰσθήσεως.

Διὰ τί δὲ καθεύδει καὶ ἐγρήγορε, καὶ διὰ ποίαν τινὰ αἴσθησιν, ἢ καὶ ποίας, εἰ καὶ διὰ πλείους, σκεπτέον. ἐπεὶ δ' ἔνια μὲν τῶν ζῴων ἔχει τὰς αἰσθήσεις πάσας, ἔνια δ' οὐκ ἔχουσιν, οἷον ὄψιν, τὴν δ' ἁφὴν καὶ τὴν γεῦσιν πάντ' ἔχει, καὶ μάλιστα κοινοτάτη πασῶν ἡ ἁφή, ὡς ἐν τοῖς Περὶ

---

11—25 Arist. p. 454b 14—32  25—27 cf. Mich. p. 47,2—6  27—p. 20,3 Arist. p. 454b 32—455a 11

---

1 ϑ̄ AB  3 νόσον B Mich.: νόσου ACa  8. 9 δυνατὸν om. B  11 τὰ ante κοινωνοῦντα add. Ca (om. etiam Arist.)  12 πτηνὰ καὶ πεζά ABa Arist. EMY (πτηνὰ LSU): πεζὰ καὶ πτηνὰ C  13 τἆλλα πάνθ' ὅσ' B Arist.: πάντα τἆλλα ὅσα ACa ὅσαπερ Arist. LSU  15 λάθοι Arist.  17 καθεύδει Arist. LSU  20 μέν τινα τὴν AB (μέν τινα Arist. L, τινὰ τὴν μὲν ceteri): τινὰ τὴν Ca  21 εἶναί φαμεν Arist. LS(M)  22 ante τῶν add. τούτων Arist. EY(L)  24 τὸ χαίρειν Arist. EMYL  25 δὲ ABa: γὰρ C  31 ποίαν om. Arist. EMY  32 τῶν ζῴων om. Arist. EMUY  33 οἷον om. Arist. LMSU

ψυχῆς εἴρηται, ἀδύνατον δ' ἐστὶν ἁπλῶς ὁποιανοῦν αἴσθησιν αἰσθάνεσθαι τὸ καθεῦδον ζῷον, φανερὸν ὅτι πᾶσιν ἀναγκαῖον ὑπάρχειν τὸ αὐτὸ πάθος ἐν τῷ καλουμένῳ ὕπνῳ, λέγω δὴ τὴν παντελῆ ἀκινησίαν καὶ ἀναισθησίαν. εἰ γὰρ τῇ μὲν τῶν αἰσθήσεων, ὡς εἰπεῖν τῇ ἀκοῇ, ἐνεργοίη, τῇ δὲ μή, τῇ ὄψει, συμβήσεται περὶ ταὐτὸ τἀναντία ἅμα· καθεῦδον γὰρ αἰσθήσεται. τοῦτο δὲ ἀδύνατον. πότερον δὲ πάσας ἐπίσης ἐν τοῖς εἰρημένοις αἰτιατέον παθήμασιν, ἢ τινὰς μὲν μᾶλλον, τινὰς δ' οὔ; ἢ καὶ μίαν μόνην (καὶ ἔστιν αὕτη ἡ ἁφή) ὡς ἀναγκαιοτέραν καὶ προτέραν φύσει τῶν ἄλλων καὶ τῇ κοινῇ αἰσθήσει ταυτιζομένην κατὰ τὸ ὑποκείμενον; ἐπεὶ γὰρ ὑπάρχει καθ' ἑκάστην αἴσθησιν τὸ μέν τι ἴδιον, τὸ δὲ κοινόν, ἴδιον μὲν οἷον τῇ ὄψει τὸ ὁρᾶν, τῇ δ' ἀκοῇ τὸ ἀκούειν, καὶ ταῖς ἄλλαις ἑκάστῃ κατὰ τὸν αὐτὸν τρόπον, ἔστι δέ τις καὶ κοινὴ δύναμις ἀκολουθοῦσα ταύταις, ᾗ καὶ ὅτι ὁρᾷ καὶ ἀκούει καὶ αἰ|σθάνεται (οὐ γὰρ δὴ τῇ γε ὄψει ὁρᾷ ὅτι ὁρᾷ), καὶ 261 κρίνει δὴ καὶ δύναται κρίνειν, ὅτι ἕτερα τὰ γλυκέα τῶν λευκῶν, οὔτε γεύσει οὔτ' ὄψει οὔτ' ἀμφοῖν, ἀλλά τινι κοινῷ μορίῳ τῶν αἰσθητικῶν πάντων (ἣν καὶ κοινὴν ἁπλῶς προσαγορεύομεν αἴσθησιν καὶ κυρίως, ἧς καὶ τὸ αἰσθητήριον κοινότατον καὶ κυρίως ἕν, καὶ μία μέν, τῷ δέ γε λόγῳ πλείους καὶ τοσαῦται, ὅσα καὶ ὑποκείμενα ταῖς καθ' ἕκαστα· ἕτερον γὰρ ψόφου χρῶμα καὶ ἀμφοτέρων ὀσμή), ὑπάρχει δ' αὕτη ἅμα καὶ πρώτως μάλιστα τῷ ἁπτικῷ (τοῦτο μὲν γὰρ χωρίζεται τῶν ἄλλων αἰσθητηρίων, τὰ δ' ἄλλα τούτου ἀχώριστα. εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς Περὶ ψυχῆς θεωρήμασι), φανερόν, ὅτι τούτου ἐστὶ πάθος ἡ ἐγρήγορσις καὶ ὁ ὕπνος, τῆς κοινῆς δηλαδὴ αἰσθήσεως περὶ τὸ κοινὸν αἰσθητήριον, τὴν καρδίαν. τῇ ἁφῇ δὲ κατὰ τὸ ὑποκείμενον τὴν κοινὴν συνήψαμεν αἴσθησιν, διὸ καὶ πᾶσιν ὑπάρχει τοῖς ζῴοις· καὶ γὰρ ἡ ἁφὴ μόνη πᾶσιν. ὅτι δὲ ἀργία μόνης καὶ πρώτης ἁφῆς ὁ ὕπνος, καὶ οὐχ ἁπλῶς κοινῶς τῶν αἰσθήσεων, ἐντεῦθεν ἂν εἴη δῆλον· εἰ γὰρ μὴ ἀνάγκη ἅμα πάσας ἐνεργεῖν, οὐδὲ ἅμα πᾶσαι ἀκινητίσουσιν. ἀλλὰ μὴν τὸ πρῶτον (τίς γὰρ ἀνάγκη τὸν ὁρῶντα εὐθὺς καὶ ἀκούειν ἢ τὸν γευόμενον ὁρᾶν), καὶ τὸ δεύτερον ἄρα. τοὐναντίον γὰρ εὐλογώτερον αὐταῖς συμβαίνειν ἔμελλε τὸ ἅμα πάσας ἐνεργεῖν ἤπερ ἅμα ἀκινητίζειν. εἰ δὲ ἅμα ἐνεργεῖν οὐκ ἐνδέχεται, ὃ μᾶλλον εὔλογον, πολλῷ μᾶλλον οὐδὲ ἀκινητίζειν. ἕπεται μέντοι τῷ τὴν ἁφὴν ἀργεῖν καὶ πάσας. οὐ μὴν ἐκ

3 λέγω — ἀναισθησίαν addidit 3—5 cf. Arist. p. 455a11—12 5. 6 cf. Mich. p. 47,23 6—9 ipse addit 9—17 Arist. p. 455a12—21 17—19 Mich. p. 47,26—28 19—23 Arist. p. 455a22—26 23. 24 Mich. p. 48,4. 7 25. 26 Arist. p. 455a26. 27 25—p. 21,2 Mich. p. 48,12—49,1

2 ἀναγκαῖον AB Arist.: ἀνάγκη Ca 11 ἑκάστη om. Arist. LSU (ἑκάστῃ scripsi) 12 ᾗ a (Arist. EYLU): ἡ ABC (Arist. MS) ὅτι B (Spengel): om. ACa (Arist. EY) 13 καὶ (post ἀκούει) del. Spengel (om. Arist. LU) ὅτι ὁρᾷ om. C 15 αἰσθητηρίων Arist. EMY 16 ἧς ABa: ὧ C 17 μέν ABa: μὲν αἴσθησις C (e coni. Spengel) 19 ὀσμαί C 21 τούτων Arist. SU 25 πρώτως B 26 κοινὸς B 27 ἐνεργεῖν C Mich. (e coni. add. Spengel): ἠρεμεῖν B: om. Aa ἀκινητίσουσιν A Mich.: ἀκινητίζουσιν Ca: ἀκινητήσουσιν B (Mich. C) 28 καὶ (ante ἀκούειν) om. C

τῆς πασῶν ἀργίας ὁ ὕπνος ἐστίν, ἀλλ' ἐκ μόνης τῆς πρώτης τῆς ἁπτικῆς. τοῦ γὰρ κυρίου τῶν ἄλλων αἰσθητηρίων καὶ πρὸς ὃ συν|τείνει τὰ ἄλλα πεπονθότος 262 τι συμπάσχειν ἀνάγκη καὶ τὰ λοιπὰ πάντα, ἐκείνων δέ τινος ἀδυνατοῦντος οὐκ ἀνάγκη τοῦτο ἀδυνατεῖν.

Ἔτι δ' ἐκ τῶνδε μᾶλλον φανερώτερον ὡς οὐκ ἐν τῷ τὰς αἰσθήσεις ἀργεῖν καὶ μὴ χρῆσθαι αὐταῖς ὁ ὕπνος, οὐδ' ἐν τῷ μὴ δύνασθαί αἰσθάνεσθαι. ἐν γὰρ ταῖς λειποψυχίαις τοιοῦτόν τι συμβαίνει· ἀδυναμία γὰρ αἰσθήσεων πασῶν ἡ λειποψυχία, ὕπνος δ' οὔ. γίνονται δὲ καὶ ἔκνοιαί τινες τοιαῦται· οἱ γὰρ μαινόμενοι οὔθ' ὁρῶσιν οὔτ' ἀκούουσιν οὔτ' ἄλλην τινὰ αἰσθάνονται αἴσθησιν· πῶς γάρ, οἳ τὰς σάρκας τὰς ἑαυτῶν κατεσθίοντες οὐδεμιᾶς ὀδύνης λαμβάνουσιν αἴσθησιν; καὶ τὰς ἐν τῷ αὐχένι δὲ δύο φλέβας εἴ τις δήσει, ἀναισθητεῖ τὸ ζῷον· ὕπνος δ' οὐκ ἔστιν, ἀλλ' ὅταν ἡ ἀδυναμία τοῦ αἰσθάνεσθαι μήτε ἔν τινι τῶν αἰσθητηρίων γένηται (τύχοι γὰρ ἂν τινος πηρωθῆναι τὰ αἰσθητήρια καὶ ἀδυνατεῖν αἰσθάνεσθαι, καὶ οὐ καθεύδειν τοῦτό γε) μήτε δι' ἣν ἔτυχεν αἰτίαν, ἀλλά, καθάπερ εἴρηται νῦν, ἐν τῷ πρώτῳ αἰσθητηρίῳ, τῇ καρδίᾳ, καὶ τῇ πρώτῃ αἰσθήσει καὶ διὰ τὴν ὑπερβολὴν τοῦ ἐγρηγορέναι, τοῦτό ἐστιν ὁ ὕπνος. ὅταν μὲν γὰρ τοῦτο ἀδυνατήσῃ, ἀνάγκη καὶ τοῖς αἰσθητηρίοις πᾶσιν ἀδυνατεῖν αἰσθέσθαι, ὅταν δὲ ἐκείνων τι, οὐκ ἀνάγκη τούτῳ.

Τούτων οὕτω διωρισμένων λεκτέον ἤδη καὶ δι' ἣν αἰτίαν τὸ καθεύδειν συμβαίνει, καὶ ποῖόν τι τὸ πάθος ἐστίν. ἐπεὶ δὲ τρόποι πλείονες τῆς αἰτίας (τέσσαρας γὰρ τοὺς κυριωτέρους ἐν τοῖς φυσικοῖς ἀποδεδώκαμεν· καὶ γὰρ τὸ τίνος ἕνεκα τελικὸν αἴτιον ἐκεῖσε ἐλέγομεν, καὶ ποιητικὸν ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ τὸν λόγον καθ' ὃν τὸ πρᾶγμα γί|νεται εἰδικόν, 263 καὶ ἐπὶ πᾶσι τὴν ὕλην, ἐξ οὗ ἐνυπάρχοντος ἀποτελεῖταί τι), εἴη ἂν ὕπνου μὲν αἰτία ὡς οὗ ἕνεκα ἡ σωτηρία τῶν ζῴων καὶ ἀνάπαυσις, ποιητικὴ δὲ ἡ τοῦ καρδιακοῦ πνεύματος κίνησις, ὑλικὴ δὲ ἡ παλίρροια τῆς ἀναχθείσης ἀναθυμιάσεως πρὸς τὰ κάτω, καὶ εἰδικὸν ἡ τοιαύτη τῶν ἐκτὸς καὶ ἐντὸς μελῶν καὶ μερῶν σύμπτωσις καὶ διάθεσις. ἔχει γὰρ ὧδε. πρῶτον μὲν οὖν ἐπειδὴ λέγομεν τὴν φύσιν ἕνεκά του ποιεῖν, τοῦτο δ' ἀγαθόν τι, τὴν δ' ἀνάπαυσιν ἀναγκαίαν εἶναι καὶ ὠφέλιμον τῷ πεφυκότι κινεῖσθαι, μὴ δυναμένῳ δ' ἀεὶ καὶ συνεχῶς κινεῖσθαι μεθ' ἡδονῆς, δῆλον ὡς σωτηρίας τῶν ζῴων ὁ ὕπνος ἕνεκα· ὅθεν καὶ δι' αὐτὴν τὴν ἀλήθειαν τῷ ὕπνῳ τὴν μεταφορὰν ταύτην προσάπτουσιν, ἀνάπαυσιν μόνον τῶν ἄλλων λέγοντες.

1—9 Arist. p. 455a33—b6   9—17 Mich. p. 49,6—15   17—21 Arist. p. 455b11—14   22 ipse addidit   23. 24 Mich. p. 49,18. 19 cf. Soph. De an. p. 24,19 H.   24—29 ipse exposuit, cf. Arist. p. 455b16 ss.   29—p. 22,2 Arist. p. 455b17—25   32 δῆλον] v. Mich. p. 49,20

2 αἰσθητηρίου Arist. praeter S   7 λιποψυχίαις Arist. E   τι om. Arist.   8 αἰσθήσεως Arist. EMY   λιποψυχία Arist.   10 αἴσθησιν ABC Mich.: om. a   τὰς (ante ἑαυτῶν) om. C   18 αἰσθάνεσθαι Arist. EM   20 καὶ om. B   22 Φυσικοῖς] v. Bonitz. Ind. p. 22b36   ἀπεδώκαμεν B   28 εἰδικὴ conicio   τοιαύτη] τοιάδε B   30 οὖν om. Arist. EMY   33 καὶ om. Ca   αὐτῇ τῇ ἀληθείᾳ Arist. EY

ἡ δ' ἐγρήγορσις τὸ τέλος· τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν πᾶσι τέλος, οἷς ὑπάρχει θάτερον αὐτῶν· βέλτιστα γὰρ ταῦτα, τὸ δὲ τέλος βέλτιστον, τέλος δὲ ἀλόγοις μὲν αἴσθησις, ἀνθρώποις δὲ φρόνησις. ἔτι δ' ἀναγκαῖον ἑκάστῳ τῶν ζῴων ὑπάρχειν τὸν ὕπνον διὰ τὴν τοιάνδε ὕλην, ἥν καὶ ἐξ ὑποθέσεως ἀνάγκην λέγειν εἰώθαμεν. εἰ γὰρ ζῷον ἔσται ἔχον τὴν φύσιν αὐτοῦ, ἐξ ἀνάγκης τινὰ ὑπάρχειν αὐτῷ δεῖ, καὶ τούτων ὑπαρχόντων ἕτερα ὑπάρχειν. οἷον ὑποτεθέντος τοῦ ζῷον εἶναι ἕπεται ἐξ ἀνάγκης τὸ τρέφεσθαι, τρεφομένου δὲ ἀναθυμίασιν γίνεσθαι, ταύτης δὲ τελεσθείσης ὕπνον. ἔτι δὲ ποίας κινήσεως καὶ πράξεως ἐν τῷ σώματι γινομένης συμβαίνει τὸ ἐγρηγορέναι καὶ τὸ καθεύδειν τοῖς ζῴοις, καὶ ὅλως περὶ τοῦ ποιητικοῦ αἰτίου μετὰ ταῦτα λεκτέον. ἔσται δὲ ὁ περὶ αὐτοῦ λόγος μακρότερος. πρότερον δὲ ταῦτα λέγομεν, ὡς τοῖς μὲν ἄλλοις καθάπερ τοῖς ἀναίμοις ὑποληπτέον εἶναι τὰ | αἴτια τοῦ πάθους ἢ τὰ αὐτὰ ἢ τὰ ἀνάλογον, τοῖς δ' 264 ἐναίμοις ἅπερ τοῖς ἀνθρώποις, ὥστ' ἐκ τούτων ὡς ἐγγυτέρω καὶ περὶ πάντων θεωρητέον. ὅτι μὲν οὖν ἡ τῆς αἰσθήσεως ἀρχὴ γίνεται ἀπὸ τοῦ αὐτοῦ μέρους τοῖς ζῴοις, ἀφ' οὗπερ καὶ ἡ τῆς κινήσεως, διώρισται πρότερον ἐν ἑτέροις. αὕτη δέ ἐστι τριῶν διωρισμένων τόπων ὁ μέσος κεφαλῆς καὶ τῆς κάτω κοιλίας. τοῖς μὲν οὖν ἐναίμοις τοῦτ' ἐστὶ τὸ περὶ τὴν καρδίαν μέρος· πάντα γὰρ τὰ ἔναιμα καρδίαν ἔχει, καὶ ἀρχὴ ἄρα τῆς κινήσεως καὶ τῆς αἰσθήσεως τῆς κυρίας ἐντεῦθέν ἐστι. τῆς μὲν οὖν κινήσεως φανερὸν ὅτι καὶ ἡ τοῦ πνεύματος ἀρχὴ καὶ ὅλως ἡ τῆς ψύξεώς ἐστιν ἐνταῦθα, καὶ τὸ ἀναπνεῖν καὶ τὸ τῷ ὑγρῷ ψύχεσθαι πρός γε τὴν σωτηρίαν τοῦ ἐν τούτῳ μορίῳ θερμοῦ ἡ φύσις πεποίηκε. ῥηθήσεται δὲ περὶ αὐτῆς ὕστερον καθ' αὑτήν. τοῖς δ' ἀναίμοις καὶ τοῖς ἐντόμοις καὶ μὴ δεχομένοις πνεῦμα ἐν τῷ ἀνάλογον τὸ σύμφυτον πνεῦμα ἀναφυσώμενον καὶ συνιζάνον φαίνεται. δῆλον δὲ τοῦτο ἐπὶ τῶν ὁλοπτέρων, οἷον σφηκῶν καὶ μελισσῶν, καὶ ἐν ταῖς μυίαις καὶ ὅσα τοιαῦτα. ὁρῶμεν γὰρ φανερῶς ἐν τούτοις τὸ μέρος τὸ ἐν τῇ τομῇ ἐγγίζον εὐρυνόμενον καὶ συστελλόμενον. ἐπεὶ δὲ κινεῖν μέν τι ἢ ποιεῖν ἄνευ ἰσχύος ἀδύνατον, ἰσχὺν δὲ ποιεῖ ἡ τοῦ πνεύματος ἐποχὴ καὶ κάθεξις, ἔσται τοῖς μὲν εἰσφερομένοις καὶ ἀναπνέουσιν ἡ θύραθεν, τοῖς δὲ

---

3 cf. Mich. p. 49,30—50,1 4—7 Arist. p. 455b 25—28 5 cf. Mich. p. 50,8 7. 8 Mich. p. 50,9. 10 9—11 Arist. v. 28—31, Mich. p. 50,17 12—27 Arist. p. 455b31—456a15 27. 28 Mich. p. 51,13—15 28—p. 23,2 Arist. p. 456a15—18 29 ἐποχή Mich. p. 51,19 30 ἀναπνέουσιν Mich. p. 51,21

---

1 τὸ τέλος ABa (Arist. MSU, τέλος EYL): τοῦ τέλους C 3 ἔτι δὲ cum Arist. LS (ὥστε MEUP) 5 τὸ ἔχον Arist. LSU 8 ὕπνος a 9. 10 τό τε ἐγρηγορέναι Arist. EMY 11 μετὰ ταῦτα ABa: τούτων C ἐσεῖται AB 12 ἐναίμοις a (Arist. S) 13 ἀνάλογον ABa: ἀνάλογα C 14 ὡς ἐγγυτέρω fort. del. ὡς om. B 20 ἐντεῦθέν ἐστι Ca (Arist.): ἐστὶν ἐντεῦθεν AB 22 τὸ ἐν τῷ Ca, sed v. Arist. τῷ cum Arist. EMYL (om. SP) τὴν om. Arist. SUP post τούτῳ ex Arist. add. τῷ Spengel 23 πεπόρικεν ex Arist. MSPL Spengel 24 alt. τοῖς om. Arist. EMUY 27. 28 τῇ ἐντομῇ Mich. 28. 29 τι post ποιεῖν Arist. SU

μὴ ἀναπνέουσιν ἡ σύμφυτος. διὸ καὶ βομβοῦντα φαίνεται τὰ πτερωτά, ὅταν κινῆται· τριβομένου γὰρ τοῦ συμφύτου πνεύματος ἐν τῇ πτήσει καὶ προσπίπτοντος ἐν τῷ ὑποζώματι τῶν ὁλοπτέρων βομβεῖ. οὐ γὰρ ὁ ἔξω ἀήρ ἐστιν ὁ ψοφῶν, | ἀλλὰ τὸ σύμφυτον πνεῦμα. γίνεται δὲ βόμβος καὶ 265 διὰ τοῦ ἔξω ἐν τοῖς ἐντόμοις τοῖς ἔχουσι σχίσμα ὑπὸ τὸ ὑπόζωμα. κινεῖται δὲ ἅπαν αἰσθήσεώς τινος γινομένης οἰκείας ἢ ἀλλοτρίας ἐν τῷ πρώτῳ αἰσθητηρίῳ, οἰκείας μὲν λέγομεν διὰ τὴν οἴκοθεν ὁρμήν (κινούμεθα γὰρ καὶ ὑπό τινων ἐν ἡμῖν φαντασμάτων), ἀλλοτρίας δὲ διὰ τὴν ἔξωθεν, δηλαδὴ τὴν ἀπὸ τῶν αἰσθητῶν. φανερὸν οὖν ἐκ τούτων, ἐν ᾧ τόπῳ καὶ ἐν ᾧ μορίῳ πρώτῳ ὁ ὕπνος γίνεται καὶ ἡ ἐγρήγορσις. ἐν ἐκείνῳ γὰρ οὗ πάθη, τῆς δὲ καρδίας εἰσὶ πάθη, καὶ ἐν ταύτῃ ἄρα. κινοῦνται δ' ἔνιοι καθεύδοντες καὶ ποιοῦσι πολλὰ ἐγρηγορικά, οὐ μέντοι ἄνευ φαντάσματος καὶ αἰσθήσεώς τινος· τὸ γὰρ ἐνύπνιόν ἐστιν αἴσθημα τρόπον τινά. λεκτέον δὲ περὶ αὐτῶν ὕστερον. διότι δὲ τὰ μὲν ἐνύπνια μνημονεύουσιν ἐγερθέντες, τὰς δ' ἐγρηγορικὰς πράξεις οὐ μνημονεύουσιν, ἐν τοῖς Προβληματικοῖς ἡμῖν εἴρηται.

Τούτων οὖν προδιωρισμένων ἐχόμενον τῶν εἰρημένων ἐστὶν εἰπεῖν, τίνων γινομένων καὶ πόθεν ἡ ἀρχὴ τοῦ πάθους γίνεται, τοῦ ἐγρηγορέναι καὶ τοῦ καθεύδειν· ἴσως γὰρ τὴν ποιοῦσαν αἰτίαν ἐν τούτοις ἂν μᾶλλον εὑρήσοιμεν καὶ τὴν ὑλικὴν τελεώτερον. φανερὸν οὖν ὡς ἀναγκαῖον τῷ ζώῳ, ὅταν αἴσθησιν ἔχῃ, τότε πρῶτον ᾗ ζῷον τροφήν τε λαμβάνειν καὶ αὔξησιν. τρέφεται γὰρ καὶ ἔμβρυον ὄν, ἀλλ' οὐχ ᾗ ζῷον, ἀλλ' ᾗ φυτόν· ἐπειδὰν δὲ αἴσθησιν λάβῃ, τότε πρῶτον τρέφεται ᾗ ζῷον. ἐγγίνεται δὲ αὐτῷ ἡ αἰσθητικὴ ψυχὴ ὑστέρα ἀποτεχθέντι. τροφὴ δέ ἐστι πᾶσιν ἡ ἐσχάτη τοῖς μὲν ἐναίμοις ἡ τοῦ αἵματος φύσις, τοῖς δ' ἀναίμοις τὸ ἀνάλογον. τόποι δ' αἵματος αἱ φλέ|βες, τούτων δ' ἀρχὴ ἡ καρδία. φανερὸν δὲ τὸ 266 λεχθὲν ἐκ τῶν ἀνατομῶν. τῆς μὲν οὖν θύραθεν τροφῆς εἰσιούσης εἰς τοὺς δεκτικοὺς τόπους, κοιλίαν λέγω καὶ ἔντερα, γίνεται ἡ ἀναθυμίασις εἰς τὰς φλέβας, ὑφ' ὧν ἀποκομισθεῖσα ἐν τῷ ἥπατι ἐκεῖσε μεταβάλλουσα ἐξαιματοῦται, ἐκεῖθεν δὲ πορευθεῖσα ἐπὶ τὴν ἀρχήν, τὴν καρδίαν, κυρίως πέττεται καὶ αἷμα τέλειον γίνεται· τῶν γὰρ φλεβῶν αἱ μὲν ἐπὶ τὴν καρδίαν φέρονται, αἱ δὲ ἐκεῖθεν ἄρχονται. κομίζουσι γὰρ αἱ μὲν ὥσπερ τινὲς διάκονοι πρὸς αὐτὴν ἀπὸ τῶν περὶ τὸ ἧπαρ τόπων τὸ ἀκατέργαστον αἷμα καὶ ἄπεπτον,

2—5 Mich. p. 51,25—30  6 Arist. p. 456a20. 21  7—9 Mich. p. 52,3. 4  9—19 Arist. ib. v. 21—32  19. 20 ipse addidit  20—22 Arist. v. 32—34  22—24 Mich. p. 52,7—9  24—29 Arist. ib. 34—456b4  28 cf. Mich. p. 52,12  29—p. 24,3 Mich. p. 52,16—26

2 ὅταν κινῆται B Arist.: ὅτε κινεῖται ACa  5 διὰ τὸ B  6 τινος B Arist.: om. ACa  7 ὁρμήν AB Mich.: κίνησιν Ca  8 δὲ om. Ba  10 γίνεται bis habet a  11 δ' ἔνιοι ABa: οἱ C  15 ἀμνημονοῦσιν Arist. EMY  17 προσδιωρισμένων B  20 εὑρήσοιμεν a, e corr. A: εὑρήσαιμεν B, prius A: εὕροιμεν C  26 δ'] δὲ τοῦ Arist. LSU  αἱ om. Arist. LSU  32 ἄρχονται C: ἔρχονται ABa (sed cf. Mich.)

ἥτις δεχομένη πέττει καὶ κατεργάζεται· αἱ δὲ τὴν χρείαν ἀποπληροῦσιν ἐπὶ τὸ ἔμπαλιν μετὰ τὴν πέψιν καὶ κατεργασίαν ἐπὶ τὸ ἅπαν σῶμα παραπομπήν. εἴρηται δὲ περὶ τούτων ἐπὶ πλέον ἐν τοῖς περὶ τροφῆς, νῦν δ' ἀναληπτέον ὑπὲρ αὐτῶν τούτου χάριν, ὅπως τὰς ἀρχὰς τῆς κινήσεως θεωρήσωμεν, καὶ τί πάσχοντος τοῦ μορίου τοῦ αἰσθητικοῦ συμβαίνει ἡ ἐγρήγορσις καὶ ὁ ὕπνος. οὐ γάρ ἐστιν ὁ ὕπνος ἡτισοῦν ἀδυναμία τοῦ αἰσθητικοῦ, καθάπερ εἴρηται· καὶ γὰρ ἔκνοια καὶ πνιγμός τις καὶ λειποψυχία ποιεῖ τὴν τοιαύτην ἀδυναμίαν, ἤδη δὲ γεγένηταί τισι καὶ φαντασία λειποψυχήσασιν ἰσχυρῶς καὶ ὁρῶσι. τοῦτο μὲν οὖν ἔχει καί τινα ἀπορίαν· εἰ γὰρ ἐνδέχεται καταδαρθάνειν τὸν λειποψυχήσαντα, ἐνδέχοιτ' ἂν καὶ ἐνύπνιον εἶναι τὸ τούτου φάντασμα. ἀλλ' οὐ τὸ πρῶτον, οὐδὲ τὸ δεύτερον ἄρα. δῆλον γὰρ ὡς τῶν μὲν ἐνυπνίων εἰ καὶ μὴ πάντων ἀλλὰ τῶν πλείστων ἐγερθέντες μνημονεύομεν, οὐδενὸς δὲ τῶν ἐν ταῖς λειποψυχίαις μνημονεύουσι φαντασμάτων μετὰ τὴν ἀπαλλαγήν. πολλὰ δέ ἐστιν ἃ λέγουσιν ἐν τῷ καιρῷ οἱ σφόδρα λειποψυχήσαντες καὶ δόξαντες τεθνάναι, | 267 ὧν οὐδενὸς ἐγερθέντες μνημονεύουσιν. οὐκ ἄρα ἐνύπνια τὰ ἐκείνων φαντάσματα, ὥστε οὐδὲ ὕπνος ἡ ἐπίληψις. τὰ αὐτὰ δὲ δεῖ λέγειν καὶ περὶ πνιγμοῦ καὶ ἐκνοίας καὶ τῶν ὁμοίων.

Ἀλλὰ γάρ, ὥσπερ εἴπομεν, οὐκ ἔστιν ὁ ὕπνος ἀδυναμία πᾶσα τοῦ αἰσθητικοῦ, ἀλλ' ἐκ τῆς περὶ τὴν τροφὴν ἀναθυμιάσεως γίνεται τὸ πάθος τοῦτο· ἀναγκαῖον γὰρ τὸ ἀναθυμιώμενον ὠθούμενον μέχρι που ὠθεῖσθαι, εἶτα ἀντιστρέφειν καὶ μεταβάλλειν καθάπερ εὔριπον· τὸ γὰρ θερμὸν ἑκάστου τῶν ζῴων πρὸς τὸ ἄνω πέφυκεν αἴρεσθαι, ὅταν δ' ἐν τοῖς ἄνω τόποις γένηται καὶ ὑπὸ τῆς τοῦ ἐγκεφάλου κράσεως ἑαυτοῦ ψυχρότερον ἀποτελεσθῇ, ἀθρόον πάλιν ἀντιστρέφει καὶ κάτω φέρεται ἐπὶ τὴν καρδίαν καὶ καταψύχει τὸ ἐν αὐτῇ θερμόν, καὶ οὕτω καθεύδει τὸ ζῷον. διὸ γίνονται μάλιστα οἱ ὕπνοι ἀπὸ τροφῆς· ἀθρόον γὰρ πολὺ τό τε ὑγρὸν καὶ τὸ σωματῶδες φέρεται. ἕως μὲν οὖν ἵστηται ἐν τῇ κεφαλῇ, βαρεῖ αὐτήν (διὸ καὶ κινοῦμεν αὐτὴν τῇδε κἀκεῖσε νυστάζοντες), ἡνίκα δὲ ῥέψει ἀντιστρέψαν τὸ θερμὸν τὸ ἀγαγὸν ἄνω τὰ ὑγρὰ καὶ σωματώδη, συρρέουσιν ἅμα αὐτῷ καὶ ταῦτα, καὶ οὕτω γίνεται ὁ ὕπνος, καὶ τότε τὸ ζῷον καθεύδει. σημεῖον δέ, ὡς τὰ ὑγρὰ καὶ σωματώδη βαρύνουσι τὴν κεφαλήν, καὶ ἀπὸ τῶν ὑπνωτικῶν· πάντα γὰρ ἐπιδήλως καρηβαρεῖν ποιοῦσι τῇ παχύτητι τῆς ἀναφορᾶς τῶν παρ' αὐτοῖς σωματοειδῶν ὑγρῶν, καὶ τὰ ποτὰ καὶ τὰ βρωτά, μήκων, μανδραγόρας, οἶνος, αἶραι.

3—11 Arist. p. 456b5—15 9 καὶ ὁρῶσι e Mich. p. 53,3 11 ἀλλ' — ἄρα ipse addidit 11—18 Mich. p. 53,16—22 19—24 Arist. ib. v. 17—24 24 cf. Mich. p. 53,26 25. 26 Mich. p. 53,27. 28 26. 27 Arist. ib. v. 24—26 28—34 Mich. p. 53,31—54,6

1. 2 διακονοῦσι πρὸς τὴν τοὔμπαλιν Mich. 2 μετὰ Ba Mich.: κατὰ A: καὶ κατὰ C 2. 3 παραπομπήν ABa Mich.: παραπέμπουσιν C 16. 17 οὐδὲ ὁ ὕπνος ἐπ. ABa, sed v. Mich. 21 ἀνάγκη Arist. LSU που ABa (Arist. praeter L): του C (Arist. L) 24 ἀποτελεσθείη AB 25 ἀθρόου a 27 τότε Arist. 28 οὖν] ἂν Mich. βαρύνει Ca (βαρεῖ etiam Mich.) 29 ῥέψῃ a (Mich. RPa) 31 τότε] τόδε B 33 ταχύτητι Spengel αὐτῆς B

γίνεται οὖν μετὰ τὰ σῖτα μάλιστα τοιοῦτος ὁ ὕπνος (πολλὴ γὰρ ἡ ἀπὸ τῶν σίτων ἀναθυμίασις), γίνεται δὲ καὶ ἐκ κόπων ἐνίων· ὁ μὲν γὰρ κόπος συντηκτικόν, τὸ δὲ | σύντηγμα γίνεται ὥσπερ τροφὴ ἄπεπτος, ἂν μὴ ψυχρὸν ᾖ· τὰ γὰρ ἐν τῇ κοιλίᾳ καὶ τοῖς ἐντέροις ἐνόντα περιττώματα ἡ παρὰ τοῦ κόπου θερμότης συντήξασα ὦσεν ἐπὶ τὸν ἄνω τόπον καὶ τὸν ὕπνον ἐποίησε. καὶ νόσοι δέ τινες τὸ αὐτὸ τοῦτο ποιοῦσιν, ὅσαι ἀπὸ περιττώματος ὑγροῦ καὶ θερμοῦ, οἷον συμβαίνει τοῖς πυρέττουσι καὶ ἐν τοῖς ληθάργοις. ἔτι δὲ ἐν τῇ πρώτῃ ἡλικίᾳ μᾶλλον ὁ ὕπνος ἢ ταῖς ἄλλαις· τὰ γὰρ παιδία καθεύδει σφόδρα διὰ τὸ τὴν τροφὴν ἄνω φέρεσθαι πᾶσαν. σημεῖον δὲ τὸ ὑπερβάλλειν τὸ μέγεθος τῶν ἄνω πρὸς τὰ κάτω κατὰ τὴν πρώτην ἡλικίαν διὰ τὸ ἐπὶ ταῦτα γίνεσθαι τὴν αὔξησιν. ἐν οἷς γὰρ πλείων ἡ τροφή, μείζω ταῦτα. διὰ ταύτην δὲ τὴν αἰτίαν καὶ ἐπιληπτικὰ γίνεται· ὅμοιον γὰρ ὁ ὕπνος ἐπιλήψει· ἑκάτερον γὰρ ἀργία αἰσθήσεων. διὸ καὶ συμβαίνει τισὶν ἡ ἀρχὴ τούτου τοῦ πάθους καθεύδουσι, καὶ καθεύδοντες μὲν ἁλίσκονται, ὅταν καὶ δέῃ τοῦτο παθεῖν, ἐγρηγορότες δ' οὔ. πολὺ γάρ, ὡς εἴρηται, φερόμενον τὸ πνεῦμα ἄνω ἐν τοῖς ὕπνοις, καταβαῖνον πάλιν ὥσπερ εὔριπος ὀγκοῖ τὰς φλέβας· ἀνάγκη γὰρ τούτου μὲν κατιόντος ἑτέρου δ' ἀνιόντος διὰ τὸ ἅμα γίνεσθαι τὴν ἀπάτμισιν κάτω, τὴν δὲ κατάπτυξιν καὶ σύστασιν ἄνω ἐξογκοῦσθαι τὰς φλέβας, ὑφ' ὧν συνθλίβεσθαι καὶ συστέλλεσθαι τὸν τῆς ἀναπνοῆς πόρον· οὗ στενωθέντος ἀνάγκη μὴ γίνεσθαι εἰσπνοήν, καὶ ἐντεῦθεν ἐπίληψις. ἐπεὶ δὲ τοῖς παιδίοις τὰ ἄνω πλήρη τροφῆς, ταὐτὸν δὲ εἰπεῖν πνεύματος ἐκ τροφῆς ἀναδοθείσης, πνευματώδης δὲ καὶ ὁ οἶνος καὶ τούτου μᾶλλον ὁ μέλας, οὐ συμφέρει αὐτοῖς οὐδὲ ταῖς τίτθαις· διαφέρει γὰρ οὐδὲν ἴσως αὐτὰ πίνειν ἢ τὰς τίτθας, ἀλλὰ δεῖ πίνειν ὑδαρώδη καὶ ὀλίγον. οὕτω δὲ τὰ ἄνω πλήρη | τροφῆς τοῖς παιδίοις, ὥστε πέντε μηνῶν οὐδὲ στρέφουσι τὸν αὐχένα. ὅμοιον δὲ τὸ πάθος τοῖς σφόδρα μεθύουσιν· ὑγρότης γὰρ ἐπ' ἀμφοῖν ἐπὶ τὰ ἄνω ἀνηνέχθη πολλή. εὔλογον δὲ τοῦτο τὸ πάθος αἴτιον εἶναι λέγειν καὶ τοῦ ἠρεμεῖν ἐν ταῖς μήτραις τὰ ἔμβρυα τὸ πρῶτον.

Καὶ τὸ ὅλον δὲ φίλυπνοι οἱ ἀδηλόφλεβοι καὶ οἱ νανώδεις καὶ οἱ μεγαλοκέφαλοι. τῶν μὲν γὰρ αἱ φλέβες στεναὶ καὶ λεπταί, ὅθεν κατελθὸν τὸ πνεῦμα ἀπὸ τῆς κεφαλῆς ῥᾳδίως ἐπλήρωσε· τὸ γὰρ μικρὸν τάχιον πληροῦται. διὰ τοῦτο δὲ ψυχρῶν τῶν φλεβῶν γενομένων (καὶ γὰρ αἱ κοιλίαι

1—3 Arist. p. 456b32—457a1  4. 5 Mich. p. 54,10—12  5—7 Arist. p. 457a1—3  7. 8 Mich. p. 54,22  8—11 Arist. ib. v. 4—7  11. 12 Mich. ib. v. 24. 25  12. 13 Arist. ibid. v. 7—9  13 Mich. p. 54,25—27  12—15 Arist. ibid. 9—11  15—23 Mich. p. 55,3—15  22 Arist. ib. v. 17  23—30 Arist. ib. 14—23  30—p. 25,6 Mich. p. 55,20—31

1 ὁ om. B  2 σιτίων B  3 συντηκτικός C  ψυχρὸς A  4 περιπτώματα B  9 ἄνω φέρεσθαι ABa: φέρεσθαι ἄνω C  13 τισὶν] πολλοῖς Arist. LSU  18 ἀπάτμισιν B Spengel: ἀπάτμησιν ACa (Mich. R)  19 ὑφ' ὧν συνθλίβεσθαι om. B  21 ταὐτὸν δὲ εἰπεῖν AB Mich.: ταὐτὸ δ' ἐστὶ C  22 καὶ (post δὲ) ABa Mich.: om. C  23. 24 ἴσως οὐδὲν Arist. praeter M  24 ὑδρώδη B  25 τῆς τροφῆς Arist. LU  26 τοῖς om. B  27 ἐπ' ABa: καὶ C  29 alt. οἱ om. Arist. LSU  tert. οἱ om. Arist. LSU

πληρωθεῖσαι ψυχραίνονται), ἀνάγκη χρονίζειν ἐν αὐταῖς τὸ πνεῦμα (δεῖται γὰρ θερμότητος εἰς τὸ διαρρεῦσαι καὶ σχεδασθῆναι), χρονίζοντος δὲ τοῦ πνεύματος ἐξ ἀνάγκης γίνεται καὶ ὁ ὕπνος μακρότερος· ἄλλως τε ὥσπερ τὸ ὕδωρ διὰ στενῶν σωλήνων βραδέως ἐξέρχεται, διὰ δὲ τῶν εὐρέων τάχιον, οὕτω καὶ τὸ πνεῦμα σωματῶδες ὂν βράδιον ἐξελεύσεται διὰ τῶν στενῶν πόρων. οἱ μὲν οὖν ἀδηλόφλεβοι διὰ τοῦτο φίλυπνοι, τοῖς δὲ νανώδεσι καὶ μεγαλοκεφάλοις ἡ ἄνω ὁρμὴ πολλὴ καὶ ἀναθυμίασις· τὰ γὰρ μεγάλα πολλῆς δεῖται τροφῆς, ἵνα πληρωθῇ καὶ χορτασθῇ. πολλῆς οὖν ἄνω γινομένης ἕπεται τὸ καὶ κάτω πολλὴν γίνεσθαι τὴν παλίρροιαν, τὸ δὲ πολὺ ἀπὸ τῆς αὐτῆς ἴσως θερμότητος βραδέως πέττεται καὶ κρατεῖται. οἱ δὲ φλεβώδεις οὐχ ὑπνωτικοὶ δι' εὔροιαν τῶν πόρων, ἂν μή τι ἄλλο πάθος ἔχωσιν ὑπεναντίον, οὐδ' οἱ μελαγχολικοί· κατέψυκται γὰρ ὁ εἴσω τόπος, ὥστε οὐ γίνεται πλῆθος αὐτοῖς ἀναθυμιάσεως. διὰ τοῦτο γὰρ βρωτικοὶ ξηροὶ ὄντες. ὥσπερ γὰρ οὐδ' ἀπολελαυκότα διάκειται τὰ σώματα αὐτοῖς ἐοικότα ξύλοις ἐν ἀνίκμῳ χώρᾳ οὖσιν. ἡ γὰρ μέλαινα χολὴ φύσει ψυχρὰ οὖσα | καὶ τὰ [270] θρεπτικά, κοιλίαν, ἧπαρ, ψυχρὰ ποιεῖ καὶ τὰ ἄλλα μόρια, ὅπου ἂν ὑπάρχῃ ἡ δύναμις τοῦ τοιούτου περιττώματος. ἐπεὶ δὲ ἀναγινώσκοντες καὶ νοοῦντες πολλάκις νυστάζομεν, ἰστέον ὡς αἴτιον τὸ ἐν κινήσει καὶ φροντίδι τότε τὴν διάνοιαν εἶναι· ἀπεπτούσης γὰρ διὰ τοῦτο τῆς τροφῆς ἀνάγκη παχεῖαν εἶναι τὴν ἀνιοῦσαν καὶ κατιοῦσαν ἀτμίδα. ὥστε φανερὸν ἐκ τῶν εἰρημένων, ὅτι ὁ ὕπνος σύνοδός τις τοῦ θερμοῦ εἴσω τῆς καρδίας καὶ ἀντιπερίστασις φυσικὴ διὰ τὴν εἰρημένην αἰτίαν. ὅθεν δ' ἐκλείπει τὸ θερμόν, καταψύχεται, καὶ διὰ ψύξιν καταπίπτει τὰ βλέφαρα· τὸ γὰρ συνέχον πάντα τὰ μέρη καὶ κινοῦν καὶ ὀρθοῦν τὸ θερμόν ἐστι. κατέψυκται οὖν ἐν τῷ ὕπνῳ τὰ ἄνω καὶ τὰ ἔξω καὶ κύκλῳ παντὸς τοῦ σώματος, τὰ δ' ἐντὸς καὶ τὰ κάτω θερμά, οἷον τὰ περὶ τοὺς πόδας καὶ τὰ εἴσω.

Καίτοι τοῦτό τις ἀπορήσειεν ἄν, διὰ τί μετὰ τὰ σιτία ἰσχυρότερος ὁ ὕπνος καί ἐστιν ὑπνωτικὸς οἶνος καὶ ἄλλα τοιαύτην ἔχοντα θερμότητα. ἔστι δ' οὐκ εὔλογον τὸν μὲν ὕπνον εἶναι κατάψυξιν, τὰ δ' αἴτια τοῦ καθεύδειν θερμά. ἢ τοῦτο συμβαίνει πρῶτον μέν, ὅτι ὥσπερ ἡ κοιλία κενὴ μὲν οὖσα θερμή ἐστιν, ἡ δὲ πλήρωσις αὐτῆς καταψύχει (ἐπιπνίγει γὰρ καὶ

6. 7 Arist. p. 457a24. 25  7—10 Mich. p. 56,1—4  10—16 Arist. ib. v. 25—32  14. 15 Mich. p. 56,8  16—20 Mich. p. 56,10. 11. 18—22  20—23 Arist. p. 457a33—b4  23. 24 Mich. p. 56,30  24—31 Arist. ib. v. 4—12  30 cf. Mich. p. 57,13  31—27,14 Mich. p. 57,17—58,1

6 μὲν ABa: om. C  9 ἀπὸ AB Mich.: ὑπὸ Ca  10 ἴσης B: καὶ ἴσης Mich.  11 πόρων] φλεβῶν Arist. EMY  13 γάρ] γὰρ καὶ Arist.  14 οὐδὲν Arist.  17 ἀναγινώσκοντες ABa Mich.: om. C  νοοῦντες Ba Mich.: νοσοῦντες A: διανοούμενοι C  23 συμπίπτει Arist. SU  25 τὰ ante κύκλῳ add. C  27 τοῦτο om. Arist. praeter EY  διὰ τί e Mich. p. 57,3] ὅτι Arist.  μετὰ σῖτον Arist. LSU  ἰσχυρότατος Arist.  ὁ om. B (Arist. ESUY)  28 ὑπνωτικὰ Arist. EMYS, ὑπνωτικὸν L  ὁ ante οἶνος add. C  θερμότητας Arist. praeter EY  29 μὲν om. C  30 πρῶτον μέν B (Mich.): om. ACa  κενὴ] κοινὴ Spengel per errorem  31 αὐτῆς cum Arist. M (αὐτὴν EY, om. LSU)

σβέννυσι τὸ θερμὸν ἡ τῶν βρωμάτων πλήρωσις, ὥσπερ καὶ τὸ πῦρ τὸ τῶν ξύλων πλῆθος), οὕτω καὶ αἱ φλέβες καὶ οἱ ἐν τῇ κεφαλῇ πόροι καταψύχονται τῷ πλήθει τῆς ἀναφερομένης ἀναθυμιάσεως, τούτου δὲ γενομένου συνίσταται ἡ ἀναθυμίασις καὶ κάτω ῥεῖ, καὶ διὰ τοῦτο μετὰ τὰ σιτία ὕπνος. δεύτερον δὲ ὥσπερ τοῖς προσχεομένοις τὸ θερμὸν ἐξαίφνης φρίκη γίνεται (τοῦ γὰρ θερμοῦ προσχεομένου τὸ ἐκτὸς ψυχρὸν ἀντιπεριστάμενον εἰς ἓν καὶ ἀθροιζόμενον τῇ φυγῇ εἴσω ποιεῖ φρίκην), οὕτω κἀ|κεῖ 271 ἀνιόντος τοῦ θερμοῦ ἐπὶ τὴν κεφαλὴν ἀθροιζόμενον τὸ ἀπὸ τοῦ ἐγκεφάλου διαδιδόμενον εἰς τοὺς τόπους ἐκείνους ψυχρὸν εἰς ἓν καὶ ἰσχυρότατον γινόμενον διὰ τὴν εἰς ἓν ἄθροισιν καταψύχει καὶ τὸ κατὰ φύσιν ἐκεῖσε ἀναχθὲν ὑγρὸν καὶ θερμὸν ποιεῖ ἐξαδυνατεῖν καὶ συνίστασθαι καὶ ὑποχωρεῖν κάτω. καὶ πρὸς τούτοις ὥσπερ τὸ πῦρ ἐπιτιθεμένων τῶν ξύλων σβέννυται, οὕτω πολλῆς ἐμπιπτούσης τροφῆς καταψύχεται καὶ οἷον σβέννυται τὸ ἐν καρδίᾳ θερμόν, ἕως ἂν καταπεφθῇ ἡ τροφή. γίνεται γὰρ ὁ ὕπνος, ὥσπερ εἴρηται, ἐν τῇ ἀνθυποστροφῇ πρὸς τὴν ἀρχὴν τοῦ σωματώδους ὑγροῦ τοῦ ὑπὸ τοῦ θερμοῦ ἀναφερομένου διὰ τῶν φλεβῶν πρὸς τὴν κεφαλήν. ὅταν γὰρ μηκέτι δύνηται ἄνω εἶναι τὸ ἀναχθέν, ἀλλὰ τῷ πλήθει ὑπερβάλλῃ καὶ βαρύνῃ καὶ πρὸς τούτοις δὲ ψυχθῇ, πάλιν ἀνταπωθεῖ καὶ κάτω ῥεῖ. διὸ καὶ καταπίπτουσι νυστάζοντες οἱ ἄνθρωποι ὑποσπωμένου καὶ κάτω ῥέοντος τοῦ θερμοῦ τοῦ ἀνάγοντος καὶ ἱστῶντος. ὁ μὲν οὖν ἄνθρωπος κείμενος ὑπνώττει διὰ τὸ μόνον τῶν ζῴων ὀρθὸν εἶναι, καὶ ἐπιπεσὼν πρῶτα μὲν ἔκνοιαν ποιεῖ καὶ παντελῆ ἀναισθησίαν, ὕστερον δὲ φαντασίαν. ἢ αἱ μὲν εἰρημέναι λύσεις ἐνδεχόμεναί εἰσι καὶ πρὸς τὸ πιθανὸν ἐκδέδονται μᾶλλον ἢ τὸ ἀληθές, ἐκείνη δὲ κυρίως ἔσται, καὶ τοῦτο τοῦ ὑπνώττειν μᾶλλον ἀληθέστερον αἴτιον. ὁ γὰρ περὶ τὸν ἐγκέφαλον τόπος, ὥσπερ ἐν ἄλλοις εἴρηται, πάντων τυγχάνει ψυχρότατος τῶν ἐν τῷ σώματι, τοῖς δὲ μὴ ἔχουσι τὸ ἀνάλογον τούτου μόριον. ὥσπερ δὲ τὸ ἀπατμίζον ὑγρὸν ἐκ γῆς καὶ τῶν ὑδάτων ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος, ὅταν ἔλθῃ εἰς τὸν ἄνω | τόπον, 272 διὰ τὴν ψυχρότητα αὐτοῦ καταψύχεται καὶ συστὰν καταφέρεται γινόμενον πάλιν ὕδωρ, οὕτως ἐν τῇ ἀναφορᾷ τοῦ θερμοῦ τῇ πρὸς τὸν ἐγκέφαλον ἡ μὲν περιττωματικὴ ἀναθυμίασις εἰς φλέγμα συνίσταται (διὸ καὶ οἱ κατάρροι φαίνονται γινόμενοι ἐκ τῆς κεφαλῆς), ἡ δὲ τρόφιμος καὶ μὴ νοσώδης καταφέρεται καὶ συνισταμένη καταψύχει τὸ θερμόν. πρὸς δὲ τὸ καταψύχεσθαι καὶ μὴ δέχεσθαι ῥᾳδίως τὴν ἀναθυμίασιν συμβάλλεται καὶ ἡ στενότης καὶ

14—22 Arist. p. 457b20—27 cf. Mich. p. 58,1—9 22—24 ipse addidit
25—p. 28,1 Arist. p. 457b29—458a8

6 ἀντιπεριστάμενον ABa Mich.: περιστάμενον C 9 τοὺς om. a (habet etiam Mich.) 10 ἐκεῖσε ἀναχθὲν ABa (ἐκεῖσε ὂν Mich.): ἀναχθὲν ἐκεῖσε C 10. 11 ὑγρὸν καὶ θερμὸν AB (ὑγρὸν θερμὸν Mich.): θερμὸν καὶ ὑγρὸν Ca 25 ὁ ἐγκέφαλος p. 457b30 non legit cum LSUY, ut vid. 26 ψυχρότατος C (Arist. MSU, ψυχρότατον EYL: ψυχρότερος ABa τούτῳ Arist. 27 δὲ Ca: om. AB 28 θέρμης Arist. EY 30 τῇ (ante πρὸς) om. C 31 συνέρχεται Arist. EMY 32 φαινόμενοι γίγνονται B 33 συνισταμένη καὶ Arist. δὲ ABC (ex Arist. Spengel): om. a 34 δέχεσθαι a Arist.: γίνεσθαι ABC

λεπτότης τῶν περὶ τὸν ἐγκέφαλον φλεβῶν. διὰ γὰρ τὴν λεπτότητα ὀλιγόθερμα, τὸ δὲ ὀλίγον εὐπαθέστερον.

Τῆς μὲν οὖν καταψύξεως τοῦτ' ἐστὶν αἴτιον καὶ τοῦ ὕπνου. ἐγείρεται δ', ὅταν πεφθῇ καὶ κρατήσῃ ἡ συνεωσμένη θερμότης ἐν ὀλίγῳ πολλὴ ἐκ τοῦ περιεστῶτος καὶ διακριθῇ τό τε σωματωδέστερον αἷμα καὶ τὸ καθαρώτατον. ἔστι δὲ λεπτότατον μὲν αἷμα καὶ καθαρώτατον τὸ ἐν τῇ κεφαλῇ, παχύτατον δὲ καὶ θολώτατον τὸ ἐν τοῖς κάτω μέρεσι. παντὸς δὲ τοῦ αἵματος ἀρχή, ὥσπερ εἴρηται καὶ ἐνταῦθα καὶ ἐν ἄλλοις, ἡ καρδία, τῶν δ' ἐν τῇ καρδίᾳ ἑκατέρᾳ τῶν θαλαμῶν κοινὴ ἡ μέση, ἐκείνων δὲ ἑκατέρα δέχεται ἐξ ἑκατέρας τῆς φλεβός, τῆς τε μεγάλης καλουμένης καὶ τῆς ἀορτῆς, ἀγουσῶν ἀπὸ τοῦ ἥπατος τὸ αἷμα ἄπεπτον ἔτι καὶ ἀκατέργαστον, ἐν δὲ τῇ μέσῃ γίνεται ἡ διάκρισις. ἀλλὰ τὸ μὲν διορίζειν περὶ τούτων ἑτέρων λόγων ἐστὶν οἰκειότερον. διὰ δὲ τὸ γίνεσθαι ἀδιακριτώτερον τὸ αἷμα μετὰ τὴν τῆς τροφῆς προσφορὰν ὕπνος γίνεται, ἕως ἂν διακριθῇ τοῦ αἵματος τὸ μὲν καθαρώτερον ἄνω, τὸ δὲ θολώτερον εἰς τὸ κάτω· ὅταν δὲ τοῦτο συμβῇ, ἐγείρονται ἀπολυθέντα τοῦ ἐκ τῆς | τροφῆς βάρους. 273

Τί μὲν οὖν τὸ αἴτιον τοῦ καθεύδειν εἴρηται, ὅτι ἡ ὑπὸ τοῦ σωματώδους τοῦ ἀναφερομένου ὑπὸ τοῦ συμφύτου θερμοῦ ἀντιπερίστασις ἀθρόως ἐπὶ τὸ πρῶτον αἰσθητήριον, καὶ τί ἐστιν ὁ ὕπνος, ὅτι ἡ τοῦ πρώτου αἰσθητηρίου κατάληψις πρὸς τὸ μὴ δύνασθαι ἐνεργεῖν ἐξ ἀνάγκης μὲν γινόμενον (οὐ γὰρ ἐνδέχεται τὸ ζῷον εἶναι μὴ συμβαινόντων τῶν ἀπεργαζομένων καὶ συντηρούντων αὐτό. ὧν ἓν ἡ τροφή, ἐξ ἧς ἡ ἀναθυμίασις), ἕνεκα δὲ σωτηρίας· σῴζει γὰρ ἡ ἀνάπαυσις.

---

1. 2 Mich. p. 58,19. 20 3—23 Arist. p. 458a 8—32 22 Mich. p. 59,7

---

2 ὀλίγον om. ABC[1] 7 θολερώτατον ex Arist. Spengel 9 ἑκατέρας Arist. θαλάμων libri 10 τε om. Arist. SUY καλουμένης B (Arist. MLSU): om. ACa (Arist. EY) 14 ὁ ὕπνος Arist. LSU 15 καθαρώτατον ACa (Arist. EM) θωλερώτερον ex Arist. YSL (θολερώτατον EMU) Spengel τὸ κάτω cum Arist. EMU(Y), τὰ κάτω Arist. LS 17 ἡ om. B (Arist. M) 19 ὁ om. C (Arist. Y) 20. 21 γινόμενον ABa (Arist. LU, γινόμενος EMY): γινομένη C

# ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ. 274

1. Μετὰ δὲ ταῦτα περὶ ἐνυπνίων ζητητέον, καὶ πρῶτον τίνι τῶν τῆς ψυχῆς φαίνεται, καὶ πότερον τοῦ νοητικοῦ τὸ πάθος ἐστὶ τοῦτο ἢ τοῦ αἰσθητικοῦ· τούτοις γὰρ μόνοις τῶν ἐν ἡμῖν γνωρίζομέν τι. ὅτι δὲ ἁπλῶς οὐδετέρου δῆλον. εἰ γὰρ χρῆσις ὄψεως ὅρασις καὶ ἀκοῆς τὸ ἀκούειν καὶ ὅλως αἰσθήσεως τὸ αἰσθάνεσθαι καὶ αἱ δυνάμεις τῶν ἐνεργειῶν ἕνεκα, τῶν δ' ἐν ταῖς αἰσθήσεσιν αἰσθητῶν τὰ μὲν κοινὰ τὰ δὲ ἴδια, κοινὰ μὲν οἷον σχῆμα μέγεθος κίνησις (πλείοσι γὰρ ὑποπίπτει) καὶ τὰ ἄλλα τὰ τοιαῦτα, ἴδια δὲ οἷον χρῶμα ψόφος χυμός, τὸ μὲν ὄψει τὸ δὲ ἀκοῇ τὸ δὲ γεύσει, ἀδυνατεῖ δὲ τὰ ζῷα πάντα μύοντα καὶ καθεύδοντα ὁρᾶν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν, δῆλον ὡς οὐκ αἰσθανόμεθα οὐδὲν ἐν τοῖς ὕπνοις. οὐκ ἄρα γε τῇ αἰσθήσει τὸ ἐνύπνιον αἰσθανόμεθα. ἀλλὰ μὴν οὐδὲ τῆς διανοίας ἢ τῆς δόξης πάθη εἰσὶ τὰ ἐνύπνια. ἐπεὶ γὰρ ἐν τοῖς ὕπνοις οὐ μόνον συγκατατιθέμεθα τὸ προσιὸν εἶναι ἵππον ἢ ἄνθρωπον ἢ ὅλως οὐσίαν, ἀλλὰ καὶ ὅτι λευκὸν ⟨ἢ⟩ καλόν, ταῦτα δὲ ἡ δόξα ἄνευ αἰσθήσεως οὐχ | 275 ὑπολαμβάνει, ἡ δὲ αἴσθησις ἐν τοῖς ὕπνοις οὐκ ἐνεργεῖ, οὐκ ἄρα οὐδὲ τῆς δόξης ἢ τῆς νοήσεώς εἰσι τὰ ἐνύπνια.

Ἔτι παρὰ τὸ ἐνύπνιον πολλάκις ἐννοοῦμεν ἄλλο τι. καθάπερ γὰρ ἐν τῷ ἐγρηγορέναι αἰσθανόμενοί τι διανοούμεθα πολλάκις περὶ αὐτοῦ ἕτερόν τι, οὕτω καὶ ἐν τοῖς ὕπνοις παρὰ τὰ φαντάσματα ἐνίοτε ἄλλα ἐννοοῦμεν. ἰδὼν γὰρ ἐν ὕπνῳ τις Σωκράτην ἐννοεῖ, ὅτι ἐν ὕπνῳ τοῦτον ὁρᾷ· ὥσπερ κἀγὼ ἰδὼν ὅτι εὗρον βιβλίον, ὃ πάλαι ἐπόθουν, ἐνενόουν ὅτι ἐν ὀνείρῳ τοῦτο ὁρῶ, καὶ ὁ ἐμὸς ἑταῖρος ἰδὼν τὸν πάνσεπτον ἡμῶν καθηγεμόνα, ὅτι

---

2—12 Arist. p. 458ᵃ33—ᵇ9    13—17 Mich. p. 61,17—25    18—20 Arist. p. 458ᵇ15—18    21—p. 30,3 Mich. p. 61,31—62,7

---

1 θεμιστίου παράφρασις εἰς τὸ περὶ ἐνυπνίων ἀριστοτέλους Ca    2 ἐνυπνίου Arist. praeter U    3 ἐκ ante τῆς add. B    τὸ om. Arist. LU    5 γὰρ] δὴ Arist. LSU, δὲ EMY    6 ὅλως δ' Arist. praeter EY    8 καὶ κίνησις legit cum Arist. EMY    9 ἴδια δὲ] ἢ τὰ ἴδια Arist. LMSU    12 τῇ αἰσθήσει γε Arist. LM τοῦ ἐνυπνίου Arist. MS    15 ἢ ex Mich. addidi    18 τι ἄλλο Arist. LSU    20 ἐνίοτε om. C    21 τοῦτον AB Mich. SCa: τοῦτο Ca Mich. P    22 βυβλίον Ca    23 ἡμῶν om. C (habet etiam Mich.)

ἀνέστη ἐκ τῶν νεκρῶν, ἔτι κοιμώμενος ἐνενόει, ὅτι ὄναρ ὁρᾷ τὸν διδάσκαλον ἐγηγερμένον. ἀλλά καί τις ἰδὼν ἐν ὕπνῳ, ὅτι εὗρε χρυσόν, ἔτι κατεχόμενος τῷ ὕπνῳ ἐδόκει διηγεῖσθαι τοῖς φίλοις, ὡς ἐν ὕπνῳ εὗρε θησαυρόν. οὐκ ἀεὶ δέ, ἐπὶ μέντοι τῆς δόξης ἀεὶ ὃ δοξάζομεν συναισθανόμεθα ὅτι δοξάζομεν. οὐκ ἄρα οὐδὲ οὕτω δόξης τὰ ἐνύπνια. ἅμα δὲ δῆλον ὡς οὐ πᾶν τὸ ἐν ὕπνῳ φάντασμα ἐνύπνιόν ἐστιν, ἀλλ' ὅταν μέν τι ὁρῶν τις μὴ ἐννοῇ, ὅτι ὅπερ ὁρᾷ ὄναρ ἐστίν, ἐνύπνιον τοῦτό γε· ὅταν δὲ ὁρῶν δύνηται ἐννοεῖν ὅτι τὸ ὁρώμενον ἐνύπνιόν ἐστιν, ἤδη τοῦτο φάντασμα, ἐνύπνιον δὲ οὐδαμῶς. δοκεῖ γὰρ εἶναι ἐνύπνια, οὐκ ὄντα, ἀλλὰ φαντάσματα, τὰ δέ εἰσι τῶν κατ' ἐνέργειαν αἰσθημάτων τῶν ὑπὸ τὴν εἰς τὸν ὕπνον καταφορὰν γινομένων ἰσχύσασιν ἡμῖν ἀντιλαβέσθαι, ὅτι ἐγρηγορόσιν ἐφαντάσθη. τρόπον γάρ τινα ἐγρήγορσίς ἐστι τὸ δύνασθαι ἐννοεῖν, ὅτι τὸ ὁρώμενον ἐνύπνιόν ἐστιν. ὅτι δὲ πολλάκις ἐννοοῦμεν ἄλλο τι, δῆλόν ἐστι τοῖς πειρωμένοις μνημονεύειν τὰ ἐνύπνια μετὰ τὴν ἀνάστασιν. ὥσπερ γάρ τινες πειρώμενοι τὰ ἀποστοματισθέντα λόγια μνημονεύειν μνημονεύουσι μᾶλλον τῶν ἀποστοματιζόντων, μὴ | πειρωμένων δὲ μνημονεύειν τῷ τοὺς μὲν τιθέναι κατὰ τὸ διαλεκτικὸν παράγγελμα ἐν τῷ μνημονικῷ τόπῳ τὰ προβαλλόμενα, τοὺς δὲ μή, οὕτω καὶ ἐπὶ τῶν ἐνυπνίων μᾶλλον μνημονεύουσιν ἀναστάντες ἃ εἶδον οἱ ἑαυτοὺς ἠσκηκότες μεμνῆσθαι τὰ ὀνείρατα. γίνεται δὲ τοῦτο, ὅταν τις ἅμα τῷ ἀναστῆναι τοῦ ὕπνου εὐθὺς ἀνανεῶται ἃ ἑωράκει καθ' ὕπνους.

Δῆλον δ' ἐκ τούτων πάντων γε τοσοῦτον, ὅτι τὸ αὐτὸ ᾧ καὶ ἐγρηγορότες ἐν ταῖς νόσοις ἀπατώμεθα, τοῦτο αὐτὸ καὶ ἐν τῷ ὕπνῳ ποιεῖ τὴν ἀπάτην. ὡς γὰρ ἐν ταῖς νόσοις τὸ ἀνιὸν παχὺ πνεῦμα συνταράττει διὰ τὴν παχύτητα καὶ τὴν ἀπὸ τοῦ πυρετοῦ σφοδρὰν κίνησιν τὸ ὀπτικὸν πνεῦμα καὶ ποιεῖ ἡμᾶς ἀπατᾶσθαι καὶ δοκεῖν τὸ ἓν δύο τάς τε ἐν τοῖς τοίχοις γραμμὰς ζῷα (τὰ γὰρ εἴδη τῶν γραμμῶν χωρὶς ὕλης ἐν τῇ ὄψει ἐμπίπτοντα καὶ συνταραττόμενα ὡδί πως καὶ συντιθέμενα διὰ τὴν τοῦ ὀπτικοῦ πνεύματος κίνησιν ἔμφασιν ποιεῖ ζῴου), οὕτω καὶ ἐν τοῖς ὕπνοις τὸ τοιοῦτον πνεῦμα αἴτιον ἡμῖν ἀπάτης γίνεται. καὶ ὑγιαίνουσι καὶ εἰδόσιν οὐδὲν κωλύει ἀπατᾶσθαι ἢ διὰ τὸ πλῆθος τοῦ ἀποστήματος ἢ διὰ τὸ τὴν ὄψιν πάσχειν τι· ὅ τε γὰρ ἥλιος ποδιαῖος δοκεῖ καὶ ἡ γῆ κινεῖσθαι ἐν πλοίῳ οὖσιν. εἰ δὲ τοῦτο, πολλῷ μᾶλλον νοσοῦσι καὶ ἔτι μᾶλλον ἐν ὕπνῳ. ἀλλ' εἴτε δὴ τὸ αὐτὸ εἴθ' ἕτερον τὸ φανταστικὸν τῆς ψυχῆς καὶ αἰσθητικόν, οὐδὲν ὅλως γίνεται ἀπάτη ἄνευ τοῦ ὁρᾶν ἢ ὅλως αἰσθάνεσθαί τι· τὸ γὰρ

3—5 Mich. p. 61,28—30 5—20 Mich. p. 62,12—32 21. 22 Arist. p. 458b25—28 23—29 Mich. p. 63,20—26 29—32 Mich. p. 64,20—25 33—p. 31,5 Arist. p. 458b29—459a4

1 ἐνενόει] ἐνεργεῖ ἔτι κοιμώμενος ἐννενόει C 6 τι] τοι B 7 ὅτι περ C 17 τόπῳ C²a (Mich.): τύπω ABC¹ 20 καὶ ante καθ' add. B 21 γε] τό γε Arist. EMY, om. SU 22 αὐτὸ] αὐτῶ C 23 ταῖς om. a 24 πυρετοῦ] ὀπτικοῦ C 29 post οὐδὲν add. γὰρ B; Hoelkius καὶ ὑγ. καὶ εἰδόσιν v. 31 post δοκεῖ ponit 33 καὶ τὸ αἰσθητικὸν Arist. 34 τι om. Arist. EMY

παρορᾶν καὶ παρακούειν ὁρῶντος ἀληθές τι καὶ ἀκούοντος, οὐ τοῦτο δὲ ὃ οἴεται. ἐν δὲ τῷ ὕπνῳ ὑπόκειται μηδὲν ὁρᾶν μηδ' ἀκούειν μηδ' ὅλως αἰσθάνεσθαι. ἆρ' οὖν τὸ μὲν ὁρᾶν μηδὲν ἀληθές, τὸ δὲ μηδὲ αἰσθάνεσθαι οὐκ ἀληθές, ἀλλ' ἐνδέχεται καὶ τὴν ὄψιν πάσχειν τι καὶ | τὰς ἄλλας 277 αἰσθήσεις; τὰ γὰρ ἀπὸ τῶν αἰσθητῶν ἐγκαταλείμματα καὶ ἐν ὕπνῳ φέρουσι, ὧν ἕκαστον ὥσπερ καὶ ἐγρηγορότων ἡμῶν προσβάλλει τῇ αἰσθητικῇ ἀρχῇ, τῇ καρδίᾳ, καὶ ὁτὲ μὲν ἡ διάνοια λέγει, ὅτι ψεῦδος, καὶ συνῄσθετο ὄναρ εἶναι, ὅταν μὴ πολλὴ ἡ κατιοῦσα ἀναθυμίασις ᾖ καὶ ὦμεν ὥσπερ ἐγρηγορότες, ὁτὲ δὲ κατέχεται, ὅτε πλῆθός ἐστι τὸ κατερχόμενον, καὶ ἀκολουθεῖ ὡς ἀληθεῖ τῷ φαντάσματι, τοὺς τύπους τῶν πραγμάτων ὡς αὐτὰ θεωροῦσα τὰ πράγματα. ὅτι μὲν οὖν οὐκ ἔστι τοῦ δοξάζοντος οὐδὲ τοῦ διανοουμένου ἢ ὅλως τοῦ νοοῦντος τὸ πάθος ὃ καλοῦμεν ἐνυπνιάζειν, φανερόν, ἀλλ' οὐδὲ τοῦ αἰσθανομένου ἁπλῶς· ὁρᾶν γὰρ ἀνάγκη καὶ ἀκούειν ἁπλῶς. ἀλλὰ πῶς δὴ καὶ τίνα τρόπον, ἐπισκεπτέον.

Ὑποκείσθω δ' ὅπερ ἐστὶ φανερόν, ὅτι τοῦ αἰσθητικοῦ τὸ πάθος, εἴπερ καὶ ὁ ὕπνος· οὐ γὰρ ἄλλῳ μέν τινι μορίῳ τῶν ζῴων ὑπάρχει ὁ ὕπνος, ἄλλῳ δὲ τὸ ἐνυπνιάζειν, ἀλλὰ τῷ αὐτῷ. ἐπεὶ δὲ περὶ φαντασίας ἐν τοῖς Περὶ ψυχῆς εἴρηται, καὶ ἔστι μὲν τὸ αὐτὸ τῷ αἰσθητικῷ τὸ φανταστικόν, τὸ δ' εἶναι φανταστικὸν καὶ αἰσθητικὸν ἕτερον, ἔστι δὲ φαντασία ἡ ἀπὸ τῆς κατ' ἐνέργειαν αἰσθήσεως γενομένη κίνησις καὶ μὴ παρόντων τῶν αἰσθητῶν, τὸ δὲ ἐνύπνιον φάντασμά τι φαίνεται εἶναι (τὸ γὰρ ἐν ὕπνῳ φάντασμα ἐνύπνιον λέγομεν εἴθ' ἁπλῶς εἴτε τρόπον τινὰ γενόμενον), φανερὸν ὅτι τοῦ αἰσθητικοῦ μέν ἐστι τὸ ἐνυπνιάζειν, τούτου δ' ᾗ φανταστικόν.

Τί δέ ἐστι τὸ ἐνύπνιον καὶ πῶς γίνεται, ἐκ τῶν περὶ τὸν ὕπνον συμβαινόντων μάλιστ' ἂν θεωρήσαιμεν. τὰ γὰρ αἰσθητὰ καθ' ἕκαστον αἰσθητήριον | ἡμῖν ἐμποιοῦσιν αἴσθησιν, καὶ τὰ γινόμενα ὑπ' αὐτῶν πάθη καὶ 278 ἐγκαταλείμματα οὐ μόνον ὑπάρχει ἐν τοῖς αἰσθητηρίοις ἐνεργουσῶν τῶν αἰσθήσεων, ἀλλὰ καὶ ἀπελθουσῶν, ὧν ὅσα σῴζεται καὶ μὴ τέλεον ἠφάνισται διὰ πλῆθος ἀναθυμιάσεως, τῇ αἰσθητικῇ ἀρχῇ προσπίπτοντα κατὰ τοὺς ὕπνους διὰ τὴν τότε εἰς τὸ κάτω τοῦ πνεύματος παλίρροιαν καὶ κινήσαντα τὴν αἴσθησιν παραπλησίως τῇ κατ' ἐνέργειαν αἰσθήσει ποιεῖ τὰ ἐνύπνια. ὅταν μὲν οὖν πολλὴ ᾖ ἡ ἀναθυμίασις, ὥστε λανθάνειν ἡμᾶς καὶ μὴ δύνα-

5—11 cf. Mich. p. 63,32—64,7 10 Arist. p. 459a7 11—26 Arist. ib. v. 8—25 26—p. 32,8 Mich. p. 63,29—64,14

1 ἀληθῶς a τοῦτο δὲ cum Arist. EY (μέντοι τοῦτο ceteri) ὃ om. Arist. EY 3. 4 τὸ δὲ—ἀληθές Ca (cf. Arist.): om. AB 4 καὶ τὴν] κατὰ τὴν Arist. EY 5 αἰσθητῶν Ca (cf. Mich.): αἰσθητικῶν AB 8 ὦμεν Ca: ἐσμὲν AB 13 ἀνάγκη male cum EY (ἂν ἦν LS, ἂν ᾖ U, ἦν M) 14 δὴ Ca (Arist.): δεῖ AB (Arist. Y) 15 δ'] μὲν οὖν Arist. LU 16 ὅπερ B 17 prius δὲ] δέ τινι Arist. praeter EY 19 δὲ] δ' ἡ Arist. ELMY ὑπὸ ex Arist. coni. Spengel 20 γινομένη Arist. 21 ἐνυπνιάζειν Arist. EMY 22 γινόμενον Arist. praeter U 23 φανταστικόν Ba (Arist.): φανταστικοῦ AC 26 ποιοῦσιν Arist. EMY 27 post ἐγκαταλείμματα add. καὶ B 29 προσπίπτοντα BMich.: προσεμπίπτοντα Ca: ἐμπίπτοντα A, in mg. add. προσ 30 τὸ AB Mich.: τὰ Ca

σθαι ἐπιλαβέσθαι ὅτι ἐγρηγόραμεν, ἀπατώμεθα, καὶ ὁρῶντες τὰ εἴδωλα καὶ ἐγκαταλείμματα τῶν αἰσθητῶν δοκοῦμεν αὐτὰ ἐκεῖνα τὰ ἀληθῆ αἰσθητὰ ὁρᾶν καὶ ἀκούειν· ὅταν δὲ μὴ οὕτως ᾖ πολλὴ ἡ αἱματικὴ ἀναθυμίασις, ἀλλὰ σύμμετρος, ὥστε μὴ λανθάνειν, οὐκ ἀπατώμεθα, ἀλλὰ λέγομεν ὑπνώττοντες, ὅτι φαίνεται μὲν τὸ εἴδωλον τοῦτο ὅτι Σωκράτης ἐστίν, οὐκ ἔστι δὲ ἀλλ' ὁ τύπος Σωκράτους καὶ τὸ ἐγκατάλειμμα. δῆλον οὖν ὅτι τὸ κατιὸν πνεῦμά ἐστι τοῦ τε ἀπατᾶσθαι καὶ μὴ αἴτιον, ὅπερ καὶ ἐν ταῖς νόσοις ἄνω ὄν.

Ὅτι δὲ καὶ μὴ παρόντων τῶν αἰσθητῶν μέχρι τινὸς μένει ἐν τοῖς αἰσθητηρίοις τὸ ἐγκατάλειμμα, καὶ ἐκ τούτων δῆλον. παραπλήσιον γὰρ τὸ πάθος ἐπί τε τούτων καὶ ἐπὶ τῶν φερομένων ἔοικεν εἶναι· καὶ γὰρ ἐπὶ τῶν φερομένων τοῦ κινήσαντος οὐκέτι θιγγάνοντος κινεῖται· τὸ γὰρ κινῆσαν ἐκίνησεν ἀέρα τινά, κἀκεῖνος πάλιν κινούμενος ἐκίνησεν ἕτερον, καὶ τοῦτον δὴ τὸν τρόπον, ἕως ἂν στῇ, ποιεῖται τὴν κίνησιν καὶ ἐν ἀέρι καὶ ἐν ὑγροῖς. ὁμοίως δ' ὑπολαβεῖν τοῦτο δεῖ καὶ ἐπ' ἀλλοιώσεως· τὸ γὰρ | 279 θερμανθὲν ὑπὸ τοῦ θερμοῦ τὸ πλησίον θερμαίνει καὶ τοῦτο διαδίδωσιν ἕως τῆς ἀρχῆς· ὥστε καὶ ἐν ᾧ τὸ αἰσθάνεσθαι, ἐπειδή ἐστιν ἀλλοίωσίς τις ἡ κατ' ἐνέργειαν αἴσθησις, ἀνάγκη τοῦτο συμβαίνειν. διὸ τὸ πάθος ἐστὶν οὐ μόνον αἰσθανομένοις ἐν τοῖς αἰσθητηρίοις, ἀλλὰ καὶ πεπαυμένοις τῷ φανταστικῷ καὶ ἐν βάθει καὶ ἐπιπολῆς. φανερὸν δ' ὅταν συνεχῶς αἰσθανώμεθά τι· μεταφερόντων γὰρ τὴν αἴσθησιν ἀκολουθεῖ τὸ πάθος, οἷον ἐκ τοῦ ἡλίου εἰς τόπον ἀλαμπῆ καὶ ἀνήλιον· συμβαίνει γὰρ μηδὲν ὁρᾶν διὰ τὴν ὑποῦσαν κίνησιν ἐν τοῖς ὄμμασιν ὑπὸ τοῦ φωτός. κἂν πρὸς ἓν χρῶμα πολὺν χρόνον βλέψωμεν ἢ λευκὸν ἢ χλωρόν, τοιοῦτον φαίνεται ἐν ᾧ ἂν τὴν ὄψιν μεταβάλωμεν. κἂν πρὸς τὸν ἥλιον βλέψαντες ἢ ἄλλο τι λαμπρὸν μύσωμεν, παρατηρήσασι κατέναντι τοῦ λαμπροῦ κεκαλυμμένων τῶν βλεφάρων ὄντων φαίνεται κατ' εὐθυωρίαν, ᾗ συμβαίνει τὴν ὄψιν ὁρᾶν, πρῶτον μὲν τοιοῦτον τὴν χρόαν, εἶτα μεταβάλλει εἰς φοινικοῦν κἄπειτα πορφυροῦν, ἕως ἂν εἰς τὴν μέλαιναν ἔλθῃ χρόαν καὶ ἀφανισθῇ. καὶ ἀπὸ τῶν κινουμένων δὲ τὰ ὄμματα μεταβάλλει οἷον ἀπὸ τῶν ποταμῶν, μάλιστα δ' ἀπὸ τῶν τάχιστα ῥεόντων· φαίνεται γὰρ τὰ ἠρεμοῦντα κινούμενα. γίνονται δὲ καὶ ἀπὸ τῶν

---

9. 10 Mich. p. 65,27. 28 10 – p. 33,2 Arist. p. 459a28—b23 22 cf. Mich. p. 65,30 25. 26 Mich. p. 65,32. 33

---

1 ἀντιλαβέσθαι Mich. SCa 4 post ἀναθυμίασις add. ὥστε λανθάνειν ἡμᾶς CaA, sed A rursus del. (om. Mich.) 7 τε om. C ὅπερ] ὥσπερ C 11 ἔοικεν εἶναι om. Arist. LU(S) 14 ἕως ἂν] μέχρι περ ἂν οὗ Arist. LSU ὑγροῖς AB (τοῖς ὑγροῖς Arist. praeter L): ὑγρῷ Ca 15 δ' Ca (Arist.): om. AB (Arist. Y) 17 post τις add. ἐστιν B 18. 19 ἐν αἰσθανομένοις Arist. EMY 19 post prius καὶ add. ἐν Arist. praeter LU πεπαυμένων Arist. LSU ἐν ante τῷ add. C 20 ἐπὶ πολλῷ AB ἔτι a (corr. Spengel) 22 post τὴν add. ἔτι Arist. praeter EY 23 ἓν om. Arist. LSU 24 ἐν ᾧ] ὑφ' ᾧ Arist. EY, ἐφ' ὅπερ ceteri 24. 25 μεταβάλλωμεν Ca (Arist. ES) 28 ἔπειτα Arist. LSU εἰς post κἄπειτα add. Ca (om. etiam Arist.) 29 καὶ αἱ ἀπὸ Arist. EMY 31 δὲ om. a 31. p. 33,1 καὶ ὑπὸ τῶν ὀσμῶν B

ἰσχυρῶν ὀσμῶν δύσοσμοι τῶν ὁμοίων. φανερῶς δὲ ταῦτα συμβαίνει, ὡς λέγομεν.

Ὅτι δὲ ταχὺ τὰ αἰσθητήρια καὶ μικρᾶς διαφορᾶς αἰσθάνεται, σημεῖον τὸ ἐπὶ τῶν ἐνόπτρων γινόμενον, περὶ οὗ κἂν καθ' αὑτὸ ἐπιστήσας σκέψαιτό τις ἂν καὶ ἀπορήσειεν. ἅμα δὲ ἐξ αὐτῶν δῆλον, ὅτι ὥσπερ ἡ ὄψις πάσχει, οὕτως καὶ | ποιεῖ τι. ἐν γὰρ τοῖς ἐνόπτροις τοῖς σφόδρα καθαροῖς, ὅταν 280 τῶν καταμηνίων ταῖς γυναιξὶ γινομένων ἐμβλέψωσιν εἰς τὸ κάτοπτρον, γίνεται τὸ ἐπιπολῆς τοῦ ἐνόπτρου οἷον νεφέλη αἱματώδης· κἂν μὲν καινὸν ᾖ τὸ κάτοπτρον, οὐ ῥᾴδιον ἐκμάξαι τὴν τοιαύτην κηλῖδα, εἰ δὲ παλαιόν, ῥᾷον. αἴτιον δέ, ὥσπερ εἴπομεν, ὅτι οὐ μόνον πάσχει ἡ ὄψις ὑπὸ τοῦ ἀέρος, ἀλλὰ καὶ ποιεῖ τι καὶ κινεῖ, ὥσπερ καὶ τὰ λαμπρά· καὶ γὰρ ὁ ὀφθαλμὸς τῶν λαμπρὸν ἐχόντων χρῶμα. τὰ μὲν οὖν ὄμματα διάκειται ἐν τῷ καιρῷ τοῦ τοιούτου πάθους ὥσπερ καὶ ἕτερον μέρος εὐλόγως τοῦ ὅλου σώματος· πάντα γὰρ μεταβέβληνται τῇ τῶν καταμηνίων ἀγωγῇ, οἱ δὲ καὶ μᾶλλον φλεβώδεις ὄντες. διὸ γινομένων τῶν καταμηνίων διὰ ταραχὴν καὶ φλεγμασίαν αἱματικὴν τοῖς μὲν ἄρρεσιν ἡ ἐν τοῖς σώμασι διαφορὰ ἄδηλος (ἀτενίζοντες γὰρ ἐν τῇ προέσει τοῦ σπέρματος τῷ κατόπτρῳ οὐχὶ συγκινοῦμεν αὐτό), ἔνεστι δέ (ἡ γὰρ αὐτὴ φύσις σπέρματος καὶ καταμηνίων), ἀλλὰ διὰ τὸ εἶναι λευκὸν καὶ ὅμοιον τῷ κατόπτρῳ οὐχὶ μεταβάλλει συγκινούμενον αὐτό· ὁ μέντοι ἀὴρ κινεῖται ὑπὸ τῶν καταμηνίων καὶ τὸν ἐπὶ τῶν κατόπτρων ἀέρα συνεχῆ ὄντα ποιόν τινα ποιεῖ καὶ τοιοῦτον οἷον αὐτὸς πάσχει, ὁ δὲ τοῦ κατόπτρου τὴν ἐπιφάνειαν. ὥσπερ δὲ τῶν ἱματίων τὰ μάλιστα καθαρὰ τάχιστα κηλιδοῦται (τὸ γὰρ καθαρὸν ἀκριβῶς δηλοῖ ὅ τι ἂν δέξηται, καὶ μάλιστα τὰς ἐλαχίστας κινήσεις), οὕτω καὶ ἐπὶ τούτων. ὁ δὲ χαλκὸς διὰ μὲν τὸ λεῖος εἶναι αἰσθητὰς τὰς ἐν αὐτῷ κηλῖδας ἡμῖν ἐμποιεῖ, διὰ δὲ τὸ καθαρὸν ἐκδήλους. δεῖ δὲ νοῆσαι οἷον τρῖψιν οὖσαν τὴν τοῦ ἀέρος ἀφὴν καὶ ὥσπερ | ἔκμαξιν καὶ ἀνάπλυσιν. ὡς γοῦν ἐν τοῖς λείοις σώμασι μά- 281 λιστα γίνεται ὁ ψόφος διὰ τὸ μὴ θραύεσθαι ἐν αὐτοῖς τὸν ἀέρα μηδ' ὅλως εἰς λεπτὰ κατακερματίζεσθαι, οὕτω καὶ ἐν τοῖς λείοις κατόπτροις αἱ κηλῖδες διάδηλοι γίνονται διὰ τὸ μένειν οἱονεὶ μία διὰ τὴν τοῦ κατόπτρου λειότητα.

---

3—27 Arist. p. 459b23—460a18 18. 19 cf. Mich. p. 66,13 25 cf. Mich. p. 66,16. 17 27—30 Mich. p. 66,17—21

---

1 ante τῶν add. καὶ ἐπὶ Arist. LU ταῦτά γε δὴ φανερῶς συμβαίνει τοῦτον τὸν τρόπον Arist. LSU συμβ. ταῦθ' Arist. EMY 3 post σημεῖον add. δὲ C 4 οὗ] ὧν Arist. EMY κἂν καθ' αὑτὸν Arist. LSU (κἂν αὐτοῦ U, καὶ αὐτόῦ EM) 5 αὐτοῦ Arist. LSU πάσχει ἡ ὄψις Arist. LS 6 ἐν γὰρ τοῖς AB Arist.: καὶ γὰρ ἐν τοῖς Ca καθαροῖς om. A 8 prius τὸ AB Arist.: om. Ca post νεφέλη add. τις Ca (om. etiam Arist.) 10 πάσχει τι Arist. S 12 λαμπρὸν] λαμπρῶν καὶ a (Arist.) 13 propius accedit ad Arist. EMY 14 καταβέβληνται C 16 ὄμμασι ex Arist. conicio 17 προθέσει B ἐν ante τῷ add. C 19 οὐχὶ Ca (cf. A): οὐ B οὐχὶ μετάβάλλει συγκ.] οὐχὶ συγκινουμ corr. in οὐ μεταβάλλει A συγκινούμενον Ca (cf. A): om. B 23 τάχιστα om. C 23. 24 καὶ τὸ (τὰ vel τῶ M) μάλιστα Arist. EML 25 λεῖος] καθαρὸς Arist. EMY κηλῖδας] s. s. ἀφὰς C 25. 26 καθαρὸν] s. s. ἤγουν τὸ κάτοπτρον C 30 μία διὰ AB (Mich.): μίαν διὰ Ca (μίαν Mich. a)

τοῦ δὲ μὴ ἀπιέναι τάχιον ἐκ τῶν καινῶν κατόπτρων αἴτιον τὸ καθαρὸν εἶναι καὶ λεῖον· διαδύεται γὰρ διὰ τῶν τοιούτων καὶ εἰς βάθος καὶ πάντῃ, διὰ μὲν τὸ καθαρὸν εἰς βάθος, διὰ δὲ τὸ λεῖον πάντῃ. ἐν δὲ τοῖς παλαιοῖς οὐκ ἐμμένει, ὅτι οὐχ ὁμοίως εἰσδύεται ἡ κηλίς, ἀλλ' ἐπιπολαιότερον. ὅτι μὲν οὖν καὶ ὑπὸ τῶν μικρῶν διαφορῶν γίνεται κίνησις, καὶ ὅτι ταχεῖα ἡ αἴσθησις, ἔτι δὲ καὶ ὅτι οὐ μόνον πάσχει ἀλλὰ καὶ ἀντιποιεῖ τὸ τῶν χρωμάτων αἰσθητήριον, φανερὸν ἐκ τούτων. μαρτυρεῖ δὲ τοῖς εἰρημένοις καὶ τὰ περὶ τοὺς οἴνους καὶ τὴν μυρεψίαν συμβαίνοντα. τό τε γὰρ παρασκευασθὲν ἔλαιον ταχέως λαμβάνει τὰς τῶν πλησίον ὀσμάς, καὶ οἱ οἶνοι τὸ αὐτὸ τοῦτο πάσχουσιν· οὐ γὰρ μόνον τῶν ἐμβαλλομένων ἢ ὑποκιρναμένων, ἀλλὰ καὶ τῶν πλησίον τοῖς ἀγγείοις τιθεμένων ἢ πεφυκότων ἀναλαμβάνουσι τὰς ὀσμάς.

Πρὸς δὲ τὴν ἐξ ἀρχῆς σκέψιν ὑποκείσθω ἓν μὲν ὅπερ ἐκ τῶν εἰρημένων φανερόν, ὅτι καὶ ἀπελθόντος τοῦ θύραθεν αἰσθητοῦ ἐμμένει τὰ αἰσθήματα αἰσθητὰ ὄντα, πρὸς δὲ τούτοις ὅτι ῥᾳδίως ἀπατώμεθα περὶ τὰς αἰσθήσεις ἐν τοῖς πάθεσιν ὄντες, ἄλλοι δὲ ἐν ἄλλοις, οἷον ὁ δειλὸς ἐν φόβῳ, ὁ δὲ ἐρωτικὸς ἐν ἔρωτι, ὥστε δοκεῖν ἀπὸ μικρᾶς ὁμοιότητος τὸν μὲν τοὺς πολεμίους ὁρᾶν, τὸν δὲ τὸν ἐρώμενον· καὶ ταῦτα ὅσον ἂν ἐμπαθέστερος ᾖ, τοσοῦτον ἀπ' ἐλάσσονος | ὁμοιότητος. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν 282 ὀργαῖς καὶ πάσαις ἐπιθυμίαις εὐαπάτητοι γίνονται πάντες, καὶ μᾶλλον ὅσῳ ἂν μᾶλλον ἐν τοῖς πάθεσιν ὦσι. διὸ καὶ τοῖς πυρέττουσιν ἐνίοτε φαίνεται ζῷα ἐν τοῖς τοίχοις ἀπὸ μικρᾶς ὁμοιότητος τῶν γραμμῶν συντιθεμένων, καὶ ταῦτ' ἐνίοτε συνεπιτείνει τοῖς πάθεσιν οὕτω, ὥστε, ἂν μὴ σφόδρα κάμνωσι, μὴ λανθάνειν ὅτι ψεῦδος, ἐὰν δὲ μεῖζον ᾖ τὸ πάθος, καὶ κινεῖσθαι πρὸς αὐτά. αἴτιον δὲ τοῦ συμβαίνειν ταῦτα τὸ μὴ κατὰ τὴν αὐτὴν δύναμιν κρίνειν τό τε κύριον, ὅ ἐστιν ἡ διάνοια, καὶ ᾧ τὰ φαντάσματα γίνονται, ὃ δήπου προσαγορεύομεν αἴσθησιν. τούτου δὲ σημεῖον ὅτι φαίνεται μὲν ὁ ἥλιος τῇ αἰσθήσει ποδιαῖος, ὁ δὲ νοῦς ἀντιφάσκει ἔνδον μὴ τοσοῦτον εἶναι ὅσος φαίνεται. εἰ δὲ ἀπὸ τῆς αὐτῆς δυνάμεως ἔκριναν, τοσοῦτος ἂν ἐδοξάζετο ὅσος καὶ ὁρᾶται. ἐν τισι δὲ νόσοις οὐδὲν κωλύει τῆς αἰσθήσεως παρατραπείσης συννοσεῖν καὶ τὸν νοῦν καὶ ταὐτοδοξεῖν περὶ τὰ φαινόμενα, ὥσπερ ἔνιοι τῶν ἐκστατικῶν κινουμένας τὰς γραμμὰς καὶ ζῷα οἰόμενοι· καὶ τί δεῖ ἐπὶ νοῦ καὶ αἰσθήσεως τὴν κατὰ τὴν κρίσιν διαφορὰν ἐπιζητεῖν,

---

1—27 Arist. p. 460a 18—b 19   26 Mich. p. 67,12   27—30 Mich. p. 67,27—31   31—p. 35,2 Mich. p. 67,19—24. 31—p. 68,1

---

1 ἐξιέναι Arist. LSU   3 μὲν γὰρ τὸ Arist. EMYU   4 εἰσδύεται C, ex Arist. EMY (ἐνδύεται LSU) Spengel: εἰσδέχεται ABa   6 ἔτι δὲ καὶ cum Arist. LU (ἔτι δὲ MS, καὶ EY)   9 formam textus LSU praebet   λαμβάνει ταχέως C   11 ὑποκριναμένων C   12 ἀναλαμβάνουσι C, ex Arist. Spengel: ἀναλαμβάνειν ABa   16. 17 οἱ δειλοὶ ἐν φόβοις, οἱ δὲ ἐρωτικοὶ Ca, sed v. Arist.   17 ἐν ἔρωτι Ca (Arist.): ἔρωτι AB   18 ἐμπαθέστερος Ca (Arist. EMY): ἐμπαθέστερον AB (Arist. LSU)   20 καὶ ἐν πάσαις Arist. EMY   23 ἐὰν Arist. MSU   ante μὴ add. μὲν Arist. EYL   24 ἂν Arist. EL   29 ἔκρινον Mich.   31 συννοσεῖν B: συννοεῖν ACa   33 alt. τὴν om. C

ὅπου γε καὶ ἐπ' αὐτῶν τῶν αἰσθήσεων οὐχ εἷς ὁ λόγος, ἀλλὰ τῶν κυριωτέρων καὶ αἱ δυνάμεις ἀκριβέστεραι οἷον ἐπὶ ἀφῆς καὶ ὄψεως; ἐν γὰρ τῇ ἐπαλλάξει τῶν δακτύλων τῇ μὲν ἀφῇ τὸ ἓν δύο φαίνεται, τῇ δὲ ὄψει οὔ· κυριωτέρα γὰρ τῆς ἀφῆς ἡ ὄψις. εἰ δ' ἦν ἡ ἀφὴ μόνη ἢ τὴν κρίσιν ἄμφω εἶχον μίαν, κἂν ἐκρίνομεν τὸ ἓν δύο. τοῦ δὲ διαψεύδεσθαι αἴτιον, ὅτι οὐ μόνον τοῦ αἰσθητοῦ κινουμένου φαίνεται ἀδήποτε, ἀλλὰ καὶ τῆς αἰσθήσεως κινουμένης αὐτῆς, ἐὰν ὡσαύτως κινῆ|ται, ὥσπερ ὑπὸ τοῦ 283
αἰσθητοῦ; λέγω δ' οἷον ἡ γῆ δοκεῖ τοῖς πλέουσι κινεῖσθαι κινουμένης τῆς ὄψεως ὑπ' ἄλλου.

Ἐκ δὴ τούτων φανερόν, ὅτι οὐ μόνον ἐγρηγορότων αἱ κινήσεις εἰσὶν αἱ ἀπὸ τῶν αἰσθήσεων γινόμεναι τῶν θύραθεν καὶ τῶν ἐκ τοῦ σώματος ὑπαρχουσῶν, ἀλλὰ καὶ ὅταν γένηται τὸ πάθος τοῦτο ὃ καλεῖται ὕπνος, καὶ μᾶλλον τότε φαίνονται. μεθ' ἡμέραν γὰρ ἐκκρούονται ἐνεργουσῶν τῶν αἰσθήσεων καὶ τῆς διανοίας καὶ ἀφανίζονται ὥσπερ παρὰ πολὺ πῦρ ἔλασσον καὶ λῦπαι καὶ ἡδοναὶ μικραὶ παρὰ μεγάλας, παυσαμένων δὲ ἐπιπολάζει καὶ τὰ μικρά· νύκτωρ δὲ δι' ἀργίαν τῶν κατὰ μόριον αἰσθήσεων καὶ ἀδυναμίαν τοῦ ἐνεργεῖν διὰ τὸ ἐκ τῶν ἔξω εἰς τὸ ἐντὸς γίνεσθαι τὴν τοῦ θερμοῦ παλίρροιαν ἐπὶ τὴν ἀρχὴν τῆς αἰσθήσεως καταφέρονται, τὴν καρδίαν, καὶ γίνονται φανεραὶ καθισταμένης τῆς ταραχῆς. δεῖ δὲ ὑπολαβεῖν ἐπὶ τούτων ὅπερ καὶ ἐπὶ τῶν ῥευμάτων· ὥσπερ γὰρ ἐκεῖ τὰς μικρὰς δίνας τὰς ἐν τοῖς ποταμοῖς φερομένας πολλάκις μὲν ὁμοίας εἶναι, πολλάκις δὲ διαλυομένας εἰς ἄλλα συμβαίνει σχήματα διὰ τὴν ἀντίκρουσιν, οὕτω κἀνταῦθα τὴν κίνησιν ἑκάστην γίνεσθαι, λέγω δὲ κίνησιν τὴν εἰδωλικὴν ἐν τῇ καρδίᾳ ἐπιφορὰν τοῦ ἐγκαταλείμματος, καθ' ἣν ἡ ἐν ἐκείνῃ αἰσθητικὴ ψυχὴ διεγείρεται. καὶ καθάπερ ἐκεῖ ἡ ἀφ' ἑτέρου εἰς ἕτερον σχῆμα μεταβολὴ οὐκ ἄμεσος, οὕτω καὶ ἡ ἑκάστου εἰδώλου κίνησις ὄντος ἐν ὑποκειμένῳ τῷ πνεύματι ἢ τῷ αἵματι ἢ τῇ καρδίᾳ, ὅταν | μὴ αὐτὴ μείνῃ ἀλλ' ἀντικρουσθῇ, διὰ 284
πολλῶν τῶν μεταξὺ φθάνει πρὸς τὸ ἔσχατον. ἀναγκαῖον οὖν τὴν πρώτην αἴσθησιν μὴ ὑπὸ μόνων τοῦ τε ἐξ οὗ καὶ εἰς ὃ κινεῖσθαι, ἀλλὰ καὶ ὑπὸ τῶν μεταξύ. ὡς γὰρ τόδε τὸ νέφος εἰ ἐοικός ἐστι λέοντι, εἶτα μεταβαλὸν διά τινων μεταξὺ εἰς ἀνθρώπου ἦλθεν ὁμοίωμα, οὐ μόνον τὸ τοῦ λέοντος καὶ ἀνθρώπου εἶδεν ἡ ψυχὴ σχῆμα ἀλλὰ καὶ τὰ μεταξύ, εἴτε ἡδέα ἦσαν αὐτῇ καὶ κεχαρισμένα εἴτε ἄλλως λυπηρὰ καὶ οὐκ εὔθυμα, οὕτω καὶ ἡ

3—5 Arist. p. 460b20—22, Mich. p. 68,2—9  5—20 Arist. p. 460b22—461a8  20—p. 36,2 Mich. p. 68,24—69,11

3 ἀπαλλάξει A  4 ἀφῆς] φαντασίας Arist. EM  5 διεψεῦσθαι Arist. praeter LS  6 αἰσθητικοῦ a (corr. iam Spengel)  7 ὡσαύτως om. Arist. EMY  post ὥσπερ add. καὶ Arist. EMY  8 τοῖς πλέουσι δοκεῖ B, sed v. Arist.  10 δὴ C ex Arist. Spengel: δὲ ABa  11 αἰσθημάτων Arist. praeter L  13 γὰρ] μὲν γὰρ Arist. praeter M συνεργουσῶν Arist. EMY  15 μικραὶ om. B  20 ὥσπερ C  22 οὕτως ἐνταῦθα C (οὕτω καὶ Mich. a, οὕτω ceteri)  24 ἐν om. a  ἐκείνῃ Spengel  ἐκείνοις AB, sed cf. Mich.  30 εἰ om. C  μεταβαλὼν C  31 ἦλθεν] ἧκεν Ca  32 εἶδεν AC Mich.: οἶδεν Ba (corr. Spengel)  33 καὶ κεχαρισμένα] εἴτε κεχαρισμένα A

πρώτη αἴσθησις οὐ μόνον τῶν ἄκρων ἐν τοῖς ὕπνοις αἰσθάνεται, ἀλλὰ καὶ τῶν μεταξύ. ταῦτα δὲ ἢ τερατώδη πάντως ἢ προσηνῆ καὶ κατὰ φύσιν. διὸ καὶ μετὰ τὴν τροφὴν καὶ πάνυ νέοις οὖσιν, οἷον τοῖς παιδίοις, οὐ γίνεται ἐνύπνια· πολλὴ γὰρ ἡ κίνησις διὰ τὴν ἀπὸ τῆς τροφῆς θερμότητα. ὥστε καθάπερ ἐν ὑγρῷ, ἐὰν σφόδρα κινῇ τις, ὁτὲ μὲν οὐθὲν φαίνεται εἴδωλον, ὁτὲ δὲ φαίνεται μὲν διεστραμμένον δὲ πάμπαν, ὥστε φαίνεσθαι ἀλλοῖον ἢ οἷον ἦν, [τοῦ] ἠρεμήσαντος δὲ καθαρὰ καὶ φανερά, οὕτω καὶ ἐν τῷ καθεύδειν τὰ φάσματα καὶ αἱ ὑπόλοιποι κινήσεις αἱ συμβαίνουσαι ἀπὸ τῶν αἰσθήσεων ὁτὲ μὲν ὑπὸ μείζονος οὔσης τῆς εἰρημένης κινήσεως ἀφανίζονται πάμπαν, ὁτὲ δὲ τεταραγμέναι φαίνονται αἱ ὄψεις καὶ τερατώδεις καὶ χείρονα τὰ ἐνύπνια, οἷον τοῖς μελαγχολικοῖς καὶ πυρέσσουσι καὶ οἰνωμένοις· πάντα γὰρ τὰ τοιαῦτα πάθη πνευματώδη ὄντα πολλὴν ποιεῖται τὴν κίνησιν καὶ ταραχήν. καθισταμένου δὲ καὶ διακρινομένου τοῦ αἵματος ἐν τοῖς ἐναίμοις σῳζομένη τῶν αἰσθημάτων ἡ κίνησις ἀφ' ἑκά|στης τῶν αἰσθήσεων 285 ἐρρωμένα τε ποιεῖ τὰ ἐνύπνια καὶ φαίνεσθαί τε καὶ δοκεῖν. δοκεῖ μὲν γὰρ τὰ ἀπὸ τῆς ὄψεως καταφερόμενα ὁρᾶν καὶ τὰ ἀπὸ τῆς ἀκοῆς ἀκούειν, ὁμοιοτρόπως δὲ καὶ ἀπὸ τῶν ἄλλων αἰσθητηρίων· τῷ γὰρ ἐκεῖθεν ἀφικνεῖσθαι τὴν κίνησιν πρὸς τὴν ἀρχὴν καὶ ἐγρηγόρως δοκεῖ ὁρᾶν καὶ ἀκούειν καὶ ὅλως αἰσθάνεσθαι. εἰ γὰρ ἡ ὄψις μὴ ἀπατηθείη ἐν τῇ τῶν δακτύλων ἐπαλλάξει ἐπίσης τῇ ἁφῇ, οὐδ' ἐν τοῖς ὕπνοις ἀπατηθήσεται ἡ αἰσθητικὴ ψυχή, ἀλλ' ἡ μὲν ἁπτικὴ δύναμις τὸ ἓν δύο λέγει, ἡ δὲ ὁρατικὴ ἐγρηγόρως ἀντέχεται καὶ ἀντιφάσκει, ὡς τὰ δοκοῦντα δύο οὐκ εἰσι δύο, ἀλλ' ἕν. εἰ δὲ ἡ ὄψις οὐκ ἀπατᾶται ἐν τούτοις ὡς τῆς ἁφῆς λογικωτέρα, πολλῷ μᾶλλον τὸ κυρίως κριτήριον, ἡ διάνοια, εἴπερ μὴ κατέχηται ὑπερβαλλούσῃ τῇ ἐπικαταφορᾷ τοῦ πνευματώδους ὑγροῦ. ὅλως γὰρ τὸ ἀφ' ἑκάστης αἰσθήσεως ἱκνούμενον πρὸς τὴν ἀρχὴν συντίθεται ἡ ἀρχή, ἐὰν μὴ ἑτέρα κυριωτέρα ἀντιφῇ· ἁπλῶς γὰρ ὁποῖον ἂν διαπορθμεύσῃ ἡ ἁφὴ ἢ ὄψις ἢ ἄλλη τις τῶν αἰσθήσεων, τοιοῦτον αὐτὸ εἶναι λέγει ἡ πρώτη αἴσθησις· ὥστε καὶ τὸ ἓν ἂν ὡς δύο παρὰ τῆς ἁφῆς εἰσαγγελθῇ ἢ ὁ ἥλιος ποδιαῖος

8—19 Arist. p. 461a 11—b 1 19—24 Mich. p. 70,5—15 24—26 ipse addidit, cf. p. 31,8. 9. 38,31. 44,16 26. 27 Arist. p. 461b 3. 4 27—p. 37,2 Mich. p. 70,19—28

2 τὴν ante φύσιν add. C 3. 4 οἷον—ἐνύπνια AB Arist.: οὐ γίνεται οἷον ἐνύπνια τοῖς παιδίοις Ca 4 τῆς Ca Arist.: om. AB 5 οὐδὲν a: evan. B 7 τοῦ ex Arist. del. Spengel 8 φαντάσματα C ex Arist. coni. Spengel, sed cf. p. 41,26 prius αἱ Ca Arist.: om. AB ὑπὸ C 9 αἰσθημάτων Arist. praeter L 10 ὄψεις] κινήσεις C 11 χείρονα cum Arist. LSU (οὐχειρομένα E, οὐχερρωμένα Y, οὐκ ἐρρωμένα M) 12 ποιεῖ Arist. praeter LU 14 ἑκάστου Arist. praeter L αἰσθήσεων] αἰσθημάτων Arist. EY, αἰσθητηρίων M 15 τε om. B φαίνεταί τε δοκεῖν AB τε] τι Arist. praeter L 17 ante γὰρ add. μὲν Arist. praeter LU 18 ἐγρηγορὼς Arist. YLS, Spengel 19 ἀπατηθῇ AB 20 ἐπίσης AB Mich.: ὁμοίως Ca 21. 22 ἐγρηγόρως male del. Spengel, habet etiam Mich. 24 κατέχοιτο C 26 ἀρχή, ἐὰν] ψυχὴ ἂν C 27 διαπορθμεύσῃ Ca (Mich. Pa): διαπορθμεύσοι AB (Mich. SCR) ἢ ἡ ὄψις Mich. Sa 28 εἶναι om. C (habet etiam Mich.)

παρὰ τῆς ὁράσεως μὴ ὄντος τοῦ ἐπικρίνοντος, ὡς δύο τε τὸ ἓν φαντασθήσεται καὶ ὁ ἥλιος τοσοῦτος ὑποληφθήσεται. νυνὶ δὲ φαίνεται μὲν πάντως, δοκεῖ δ' οὐ πάντως ἅπαν τὸ φαινόμενον, ἂν μὴ τὸ ἐπικρῖνον κατέχηται, ὡς πολλάκις εἴρηται, ἢ μὴ τὴν οἰκείαν κινῆται καὶ προσφυῆ κίνησιν. ὥσπερ δ' εἴπομεν, ὅτι ἄλλοι δι' ἄλλο πάθος εὐεξαπάτητοι, οὕτως ὁ καθεύδων διὰ τὸν | ὕπνον καὶ τὸ κινεῖσθαι τὰ αἰσθητήρια καὶ τἆλλα τὰ 286 συμβαίνοντα περὶ τὴν αἴσθησιν, ὥστε μικρὰν ἔχον ὁμοιότητα φαίνεται ἐκεῖνο. ὅταν γὰρ καθεύδῃ, κατιόντος τοῦ πνεύματος καὶ τοῦ αἵματος ἐπὶ τὴν ἀρχὴν συγκατέρχονται καὶ αἱ ἐνοῦσαι ὡς ἐν ὑποκειμένῳ κινήσεις καὶ τύποι τῶν αἰσθητῶν, αἱ μὲν δυνάμει αἱ δὲ ἐνεργείᾳ, εἴτουν αἱ μὲν μέλλουσι καὶ οὔπω, αἱ δὲ πάρεισι καὶ κινοῦσι τὴν αἰσθητικὴν ἀρχὴν εἰς ἀντίληψιν, ὡς συμβαίνειν ἐν τῇ κινήσει τῃδὶ τῇ πρώτως εἰσελθούσῃ τήνδ' ἐπιπολάζειν τὴν μετ' αὐτὴν ἐνεργήσουσαν, ταύτης φθαρείσης τὴν ἐφεξῆς εἰσιέναι.

Καὶ πρὸς ἀλλήλας ἔχουσιν, ὥσπερ οἱ πεπλασμένοι βάτραχοι οἱ ἀνιόντες ἐν τῷ ὕδατι τηκομένου τοῦ ἁλός. εἰ γάρ τις βατράχους ξυλίνους ὑποθεῖτο πέντε τυχὸν τὸν ἀριθμὸν ἐν πίθῳ ἁλὸς ἐμβεβλημένους πεπληρωμένῳ καὶ συντεθειμένῳ ἄνωθεν κάτω καὶ κατὰ διαστήματα, ὡς τοὺς ἄκρους τὸν μὲν πρὸς τῷ χείλει κεῖσθαι, τὸν δὲ ἐν τῷ πυθμένι, καὶ τοὺς μέσους ἀναλόγως, κρυπτομένους δὲ πάντας, εἶτα τὸ ἅλας ἄνωθεν ἄρξηται τήκεσθαι, πρῶτος ἐπιπολάσει τῷ ὕδατι καὶ ἐνεργείᾳ αἰσθητὸς γενήσεται ὁ πάντων ἀνώτατος βάτραχος, εἶτα προϊούσης τῆς τήξεως ὁ μετ' αὐτὸν καὶ μετ' ἐκεῖνον ὁ ἕτερος, τελευταῖος δὲ πάντων ταχέντος τοῦ ἅλατος ὁ ἔσχατος ἀναβήσεται. οὕτω καὶ αἱ κινήσεις ἐν τῷ ὕπνῳ καὶ τὰ τῶν αἰσθητῶν εἴδωλα αἱ μὲν πρώτως ἀπαντῶσαι πρώτως καὶ ἐνεργήσουσιν, αἱ δὲ δυνάμει οὖσαι καὶ μέλλουσαι ἀνιεμένου ποτὲ τοῦ κωλύοντος αἵματος καὶ λυομένου, ἔτι δὲ λεπτυνομένου καὶ καθαιρομένου τοῦ ὑπολει|φθέντος ἀκριβέστερον ἐνεργή- 287 σουσιν· ὅθεν οἱ τελευταῖοι τῶν ὕπνων εὐθυονειρότεροι, καὶ καθαρώτερα τῇ ἀρχῇ τὰ ἐν τοῖς αἰσθητηρίοις τῶν αἰσθητῶν τότε προσπίπτουσιν ὁμοιώματα, ὡς ἤδη τοῦ ταράττοντος ἠρεμήσαντος. ἡ μὲν οὖν ἐν τοῖς ἐνυπνίοις τῶν φαντασμάτων μεταβολὴ τῇ ἐν τοῖς νέφεσιν ἔοικεν, ὡς καὶ πρότερον εἴρηται, ἃ παρεικάζουσιν ἀνθρώποις καὶ κενταύροις ταχέως μεταβάλλοντα. κοινῶς

---

2—10 Arist. p. 461b5—13 10. 11 ipse addidit 12. 13 cf. Mich. p. 72,7. 8 14. 15 Arist. p. 461b15. 16 15—p. 38,4 Mich. p. 72,10—35 liberius adhibuit

---

1 ἐπικρίναντος C τε om. C 3 sim. ἐὰν τὸ ἐπικρῖνον μὴ Arist. SU, ἀλλ' ἐὰν (ἂν EL) τὸ ἐπικρῖνον ceteri 7 ὥστε] ὡς a: ὥστε τὸ Arist. 9 καὶ αἱ ἐνοῦσαι] αἱ ἐνοῦσαι Arist. EMY, καὶ ἐνοῦσαι L, καὶ κινοῦσαι αἱ ἐνοῦσαι SU 10 ἤγουν conicio 13 ⟨καὶ⟩ ταύτης (Mich.) vel ταύτης ⟨δὲ⟩ coni. Spengel 14 ἀλλήλαις C δὲ vel δὴ ante ἔχουσιν Arist. praeter L 15 ξυλίνους AB Mich.: om. Ca ὑπόθοιτο B, e corr. A 16 τὸν πέντε ἀριθμὸν τυχόν a (sed πέντε φέρε εἰπεῖν τὸν ἀριθμόν Mich.) 17 συντεθειμένῳ] ῳ mutavit in ους C κατὰ] τὰ B τὸν] τοὺς C 18 κεῖσθαι] κινεῖσθαι B τὸν] τοὺς C 19 ἄρξεται B 22 πάντως B, e corr. A 26 ὑποληφθέντος B 27. 28 τῆς ἀρχῆς conicio 28 αἰσθητῶν B (evan. A) cf. Mich.: ὑπνούντων Ca προσπέσωσιν B: προσπέσασιν A 29 μὲν B (evan. A): om. Ca

δὲ τῶν ἐν ὕπνῳ φαινομένων ἕκαστον ὑπόλειμμά ἐστιν, ὡς ἐν ἀρχαῖς ἐλέχθη, τοῦ ἐνεργείᾳ αἰσθήματος, καὶ ἀπελθόντος τοῦ ἀληθοῦς αἰσθητοῦ, ὅταν μὴ κατέχηται ὑπὸ τοῦ κατελθόντος αἵματος τὸ ἐπικρῖνον, ἀληθὲς εἰπεῖν ὑπνώττοντα, ὅτι τοῦτο οὐ Κορίσκος, ἀλλ' οἷον Κορίσκος καὶ εἴδωλον, καὶ διὰ τούτου τὸν ἀληθινὸν διανοεῖται Κορίσκον· ὅταν δὲ παντελῶς κατέχηται, ὥστε τὸ ὅμοιον καὶ τὸ εἴδωλον δοκεῖν αὐτὸ εἶναι τὸ ἀληθές, οὐ κινεῖται ὑπὸ τῶν εἰδώλων ὡς αἰσθανόμενον καὶ τρόπον τινὰ ἐγρηγορός, ἀλλ' ὡς ἀναίσθητον, καὶ τοσαύτη τοῦ ὕπνου ἡ δύναμις, ὥστε ποιεῖν τοῦτο λανθάνειν. ὥσπερ οὖν εἴ ποτε λανθάνοι ὑποβαλλόμενος ὁ δάκτυλος τῷ ὀφθαλμῷ, οὐ μόνον φανεῖται, ἀλλὰ καὶ δόξει δύο τὸ ἕν, ὅταν δὲ μὴ λανθάνῃ, φανεῖται μέν, οὐ δόξει δέ, οὕτω κἀν τοῖς ὕπνοις, ἂν μὲν αἰσθάνηται ὅτι καθεύδει καὶ πρὸς τούτῳ τοῦ ἐνυπνίου, φανεῖται μέν, λέγει δέ τι ἐν αὐτῷ ὅτι φαίνεται μὲν Κορίσκος τόδε τὸ φάντασμα, οὐκ ἔστι δέ (πολλάκις γάρ τις καθεύδων καὶ συναισθόμενος λέγει ἐν τῇ ψυχῇ ὅτι ἐνύπνιον τὸ φαινόμενον)· ἐὰν δὲ λανθάνῃ ὅτι καθεύδει, συνθήσεται καὶ οὐδὲν ἀντιφήσει τῇ φαντασίᾳ.

Ὅτι δ' | ἀληθῆ λέγομεν καί εἰσι κινήσεις φανταστικαὶ καὶ τύποι 288
καὶ εἴδωλα τῶν αἰσθητῶν ἐν τῷ πρώτῳ αἰσθητηρίῳ, τῇ καρδίᾳ, καὶ μὴ παρόντων τῶν πραγμάτων καὶ ἠρεμουσῶν τῶν αἰσθήσεων, περὶ ἃ καὶ ἡ τῶν ἐνυπνίων πᾶσα δραματουργία συνίσταται, δῆλον ἐκεῖθεν. ὃ γὰρ ἐν τοῖς δευτέροις, πολλῷ μᾶλλον ἐν τῷ πρώτῳ, καὶ εἴ εἰσιν ἐν τοῖς ἄλλοις αἰσθητηρίοις εἴδωλα καὶ ἐγκαταλείμματα καὶ μὴ ἐνεργοῦσι, πολλῷ μᾶλλον ἐν τῇ καρδίᾳ, ἀφ' ἧς καὶ τὸ εἶναι τούτοις καὶ ἐνεργεῖν. ὅτι δέ εἰσι, φανερόν, ἐάν τις προσέχων πειρῷτο μνημονεύειν ἃ πάσχομεν ἐγειρόμενοι, ὅταν ἡ ἔγερσις γένηται πλησίον τῆς καταφορᾶς. ἐνίοτε γὰρ τὰ φαινόμενα εἴδωλα καθεύδοντι φωράσει ἐγειρόμενος κινήσεις οὔσας ἐν τοῖς αἰσθητηρίοις· ἂν γὰρ ὑπνώττων τις ὁρᾶν ἄρξηται ἐνύπνιον καὶ εὐθὺς ἐγερθῇ, ὁρᾷ εἴδωλα πρὸ ὀμμάτων· ἐνίοις γὰρ τῶν νεωτέρων καὶ πάμπαν ἀκριβῶς διαβλέπουσιν, ἐὰν ᾖ σκότος, φαίνεται εἴδωλα πολλὰ κινούμενα, ὥστ' ἐγκαλύπτεσθαι πολλάκις φοβουμένους. ταῦτα δὲ ἦν αἱ ἐν τοῖς ὀφθαλμοῖς ἀπὸ τῶν αἰσθητῶν κινήσεις. ἐκ δὴ τούτων ἁπάντων συλλογίσασθαι δεῖ, ὅτι ἔστι τὸ ἐνύπνιον φάντασμα ἐν ὕπνῳ κατεχομένου τοῦ κυρίου καὶ ἐπικρίνοντος. ὥστε

5—8 Mich. p. 73,17—19 8—15 Arist p. 461b29—462a8 12 τοῦ ἐνυπνίου e Mich. p. 73,31 16—24 Mich. p. 74,13—25 liberius adhibuit 24. 25 Arist. p. 462a11. 12 26. 27 Mich. p. 74,27. 28 27—29 Arist. p. 462a12—15 29. 30 Mich. p. 75,3. 4 30 Arist. p. 462a15. 16 31 κατεχομένου—ἐπικρίνοντος ipse addidit 31—p. 39,3 Mich. p. 75,5—11

1 ἐστιν om. B (habet Mich.) 2 ἐν τῇ ante ἐνεργείᾳ add. B (Arist., om. Mich.) 3 ἀληθὲς ABC Mich.: ἔνεστιν ἀληθὲς a (cf. Arist.) 5 διὰ τοῦτο C ὅτε A 7 αἰσθανόμενος C ἐγρηγορός AB Mich. Spengel: ἐγρηγορώς Ca 8 ἀναίσθητος C 9 λανθάνει B (Arist. SUY¹) ὑπολαμβανόμενος B 10 δόξειε AB 11 ἐὰν Arist. EMS γὰρ post μὲν add. B 12 φαίνεται Arist. praeter L 13 τόδε] τοῦτο C οὐκέτι A 14 καθεύδων τις Arist. LSUY, καθεύδοντος EM λέγει τι Arist. EM 15 ἀντίφησι Arist. praeter EY 23 πειρᾶται Arist. Mich. SCa 24 ἐγρήγορσις C. sed v. Mich. 27 καὶ ἐν. γε Arist. MS 28 ἂν Arist. LS 29 ἦν AB (ἦσαν Mich.): ἐστιν Ca 31 κυρίου καὶ] μορίου τοῦ C

οὔτε τὰ εἰρημένα εἴδωλα καὶ φαντάσματά εἰσιν ἐνύπνια οὔθ' ὅτι ἄλλο λελυμένων καὶ ἐνεργουσῶν τῶν αἰσθήσεων φαίνεται, οὔτε τὸ ἐν ὕπνῳ φάντασμα ἅπαν, εἰ μὴ συγκατέχοιτο ἡ διάνοια μὴ ἐπικρίνουσα τὸ ὁρώμενον. καὶ ὃ δὲ συμβαίνει ἐνίοις αἰσθάνεσθαί πῃ καὶ ψόφων καὶ χυμῶν καὶ φωτὸς καὶ ἁφῆς, ἀσθενικῶς μέντοι καὶ οἷον πόρρωθεν, οὐκ ἔστιν ἐνύπνιον· οἱ γὰρ | ὑπνώττοντες καὶ μεταξὺ ὄντες τοῦ τε ἁπλῶς ἐγρηγορότος καὶ τοῦ καθεύ- 289 δοντος, ἐάν τις ψοφῇ ἢ φῶς κρατῶν διέρχηται, αἰσθάνονται καὶ τοῦ φωτὸς καὶ τῶν ψόφων, δοκοῦσι δὲ ἐν ὀνείρῳ τούτων αἰσθάνεσθαι, ὥστε καὶ πολλοὶ ἐγερθέντες λέγουσι πρὸς αὐτούς· σὺ ψοφεῖς ἢ σὺ τὸ φῶς κατέχεις· μὰ τὸν ἥλιον, ἐδόκουν ὄναρ ταῦτα ὁρᾶν, τάχα δὲ οὐκ ὄναρ ἦν, ἀλλ' ἀληθῆ. ὡς γὰρ ἔχει ὁ ἁπλῶς ἐγρηγορὼς πρὸς τὸν πῇ ἐγρηγορότα, οὕτως καὶ ἡ ἁπλῶς αἴσθησις πρὸς τὴν πῇ αἴσθησιν. οὗτοι γοῦν πολλάκις καθεύδοντες καὶ μὴ ἔχοντες ἐγκεκλεισμένα τὰ βλέφαρα ἀλλ' ἠρέμα καὶ ὀλίγον ἠνεῳγμένα καὶ ὁρῶντες τὸ τοῦ παρακειμένου λύχνου φῶς καὶ ὄναρ οἰόμενοι διεγερθέντες εὐθὺς ἐγνώρισαν τὸ τοῦ λύχνου ὄν, καὶ ἀλεκτρυόνων καὶ κυνῶν φωνὴν ἠρέμα ἀκούοντες καὶ νομίζοντες ἐνύπνια εἶναι ἐγερθέντες σαφῶς ἐγνώρισαν μὴ ταῦτα εἶναι. ἔνιοι δὲ καὶ ἀποκρίνονται ἐρωτώμενοι πολλάκις, οὐ μνημονεύουσι δὲ ἐγερθέντες ὡς ἀπεκρίθησαν. καὶ δῆλον ὡς οὔτε ἁπλῶς ἐγηγορότες ἦσαν (ἢ γὰρ ἂν ἐμνημόνευον) οὔτε καθάπαξ ἐκάθευδον· οὐ γὰρ ἂν ἀπεκρίθησαν. τῶν οὖν εἰρημένων οὐδὲν ἐνύπνιον φατέον, οὐδ' ὅσαι δὴ ἐν τῷ ὕπνῳ γίνονται ἀληθεῖς ἔννοιαι παρὰ τὰ φαντάσματα (λέγω δὴ τὰς κρίσεις, αἷς συναισθόμεθα ὀνειρώττοντες ὅτι ὀνειρώττομεν), ἀλλὰ τὸ φάντασμα τὸ ἀπὸ τῆς κινήσεως τῶν αἰσθημάτων, ὅταν ἐν τῷ καθεύδειν καὶ ᾗ καθεύδει, τοῦτ' ἐστὶν ἐνύπνιον. ἤδη δέ τισι συμβέβηκε μηδὲν ἐνύπνιον ἑωρακέναι κατὰ τὸν βίον, τοῖς δὲ πόρρω προελθούσης τῆς ἡλικίας ἰδεῖν πρότερον μὴ ἑωρακόσι. | τὸ δ' αἴτιον τοῦ μὴ 290 γίνεσθαι πρότερον παραπλήσιον φαίνεται τῷ ἐπὶ τῶν παίδων καὶ μετὰ τὴν τροφήν· ὅσοις γὰρ συνέστηκεν ἡ φύσις, ὥστε πολλὴν ἀναθυμίασιν πρὸς τὸν ἄνω τόπον ἀναφέρεσθαι, ἣ καταφερομένη ποιεῖ πλῆθος κινήσεως, τούτοις εὐλόγως οὐδὲν φαίνεται φάντασμα, προϊούσης δὲ τῆς ἡλικίας οὐδὲν ἄτοπον τὸ φανῆναι ἐνύπνιον· μεταβολῆς γάρ τινος γινομένης ἢ καθ' ἡλικίαν ἢ πάθος ἀναγκαῖον συμβῆναι τὴν ἐναντίωσιν ταύτην.

---

4. 5 Arist. p. 462a19—21 5—17 Mich. p. 75,15—76,2 17. 18 Arist. ib. v. 25 18—20 Mich. p. 76,1—3 20—22 Arist. ib. 27—29 22 Mich. p. 76,4. 5 23—32 Arist. p. 462a29—b11

---

1 οὔθ' Spengel: οὐδ' libri 3 alt. μὴ om. C 7 κρατοῦν male Spengel 8 ὀνείρῳ] οἴκῳ C, ὕπνῳ in mg. C[2] 9 αὐτοὺς Spengel 10 ταῦτα om. C τάχα] τὰ C 12 ἀλλὰ καὶ πολλοὶ καθεύδοντες Mich. 18 ἀπεκρίθησαν AB Mich.: ἀπεκρίναντο Ca 20 ἀπεκρίθησαν AB (Mich. SPa): ἀπεκρίναντο Ca (ἀπεκρίνοντο Mich. CR) 24 καὶ ᾗ] ᾗ, ᾗ Arist. MLSU (ἢ EY) 25 ante μηδὲν add. ὥστε Arist. praeter EY 25. 26 ad formam textus EMY proxime accedit παρελθούσης ACa, sed v. Arist. 27 φαίνεται τῷ—τροφήν (28) cum Arist. EMYc i m (sed παιδίων), τι δεῖ νομίζειν, ὅτι οὐδὲ μετὰ τὴν τροφὴν LSU τῷ] τῶν Ca (corr. Spengel) 27. 28 τὰς τροφὰς Ca 28 post γὰρ add. τοῦτον τὸν τρόπον Arist. LSU 29 ἀναφέρεσθαι om., προσπίπτειν (vel προσεμπ.) ante ἀναθυμίασιν add. Arist. LSU 30 οὐδὲ A 31 τὸ om. Ca (Arist. praeter LS) γενομένης Arist. LSU

Περὶ δὲ τῆς μαντικῆς τῆς ἐν τοῖς ὕπνοις γινομένης καὶ λεγομένης συμβαίνειν ἀπὸ τῶν ἐνυπνίων οὔτε καταφρονῆσαι ῥᾴδιον οὔτε πεισθῆναι. τὸ μὲν γὰρ πάντας ἢ πολλοὺς ὑπολαμβάνειν ἔχειν τι σημειῶδες καὶ τῶν μελλόντων προμάντευμα τὰ ἐνύπνια παρέχεται πίστιν ὡς ἐξ ἐμπειρίας λεγόμενον· πείθει γὰρ ἡμᾶς, ὡς σημειώδη τὰ καθ' ἑκάστην γινόμενα. καὶ τὸ περὶ ἐνίων εἶναι τὴν μαντικὴν ἐν τοῖς ἐνυπνίοις οὐκ ἄπιστον· ἔχει γάρ τινα λόγον· μικροῦ δεῖν καὶ περὶ πάντων τῶν ἐνυπνίων οἰηθείη ἄν τις ὡς ἔχει τι σημειῶδες. τὸ δὲ μηδεμίαν αἰτίαν εὔλογον ὁρᾶν, καθ' ἣν ἂν γίνοιτο, διαπιστεῖν ποιεῖ. τό τε γὰρ θεὸν εἶναι τὸν πέμποντα, πρὸς τῇ ἄλλῃ ἀλογίᾳ καὶ τὸ μὴ τοῖς βελτίστοις καὶ φρονιμωτάτοις, ἀλλὰ τοῖς τυχοῦσι πέμπειν ἄλογον. ἀφαιρεθείσης δὲ τῆς ἀπὸ τοῦ θεοῦ αἰτίας οὐδεμία τῶν ἄλλων εὔλογος εἶναι φαίνεται αἰτία· τὸ γὰρ περὶ τῶν ἐφ' Ἡρακλείαις στήλαις ἢ τῶν ἐν Βορυσθένει προορᾶν τινα ὑπὲρ τὴν ἡμετέραν εἶναι δόξειεν ἂν σύνεσιν εὑρεῖν τούτων τὴν ἀρχήν. ἀνάγκη δ' οὖν τὰ ἐνύπνια ἢ αἴτια εἶναι ἢ σημεῖα | τῶν γινομένων ἢ συμπτώματα, ἢ πάντα ἢ ἔνια 292 τούτων ἢ ἓν μόνον. λέγω δ' αἴτιον μὲν οἷον τὴν σελήνην τοῦ ἐκλείπειν τὸν ἥλιον καὶ τὸν κόπον τοῦ πυρετοῦ, σημεῖον δὲ τῆς ἐκλείψεως τὸ τὸν ἀστέρα εἰσελθεῖν καὶ ὑποδραμεῖν, τὴν δὲ τραχύτητα τῆς γλώττης τοῦ πυρέσσειν, συμπτώματα δὲ τὸ βαδίζοντος ἐκλείπειν τὸν ἥλιον· οὔτε γὰρ σημεῖον οὔτ' αἴτιόν ἐστιν ἡ ἐμὴ βάδισις τῆς ἐκλείψεως. διὸ τὰ συμπτώ-

---

2—6 Arist. p. 462b12—16 4. 5 τῶν—προμάντευμα e Mich. p. 77,10 6 Mich. p. 77,10 7—20 Arist. ib. v. 16—32 19 ὑποδραμεῖν e Mich. p. 78,5 20—47,2 cf. Arist. p. 463a1—4

---

1 θεμιστίου παράφρασις εἰς τὸ περὶ τῆς καθ' ὕπνον μαντικῆς ἀριστοτέλους Ca 2 prius τῆς B Arist.: τῆς καθ' ὕπνον ACa καὶ post μαντικῆς add. C 5 ἐνύπνια] ἐν ὕπνοις C παρέχεται AB Arist.: παρέχει Ca 6 καθ' ἑκάστην AB Mich.: καθ' ἑκάστους Ca 7 ἐνυπνίοις] ὕπνοις Ca (Arist. S) 8 ⟨διὸ⟩ μικροῦ expectes, cf. Arist. πάντων om. Arist. praeter M, sed cf. Mich. p. 77,17 9 ἔχῃ AB 10 post γίνοιτο add. τοῦτο Arist. LSU 11 prius τοῖς om. C 13 εἶναι et αἰτία om. Arist. EMY περὶ γὰρ (om. τὸ) C 14 τινὰς Arist. praeter SU 15 δοκεῖ (om. ἂν) Arist. EMY τούτων om. Arist. EY 17 οἷον om. Arist. EY 20 σύμπτωμα Arist.

ματα οὔτε ἀεὶ γίνεται οὐθ' ὡς ἐπὶ τὸ πολύ. τοιγαροῦν τῶν ἐνυπνίων τὰ μέν εἰσι σημεῖα, τὰ δὲ αἴτια, τὰ δὲ συμπτώματα, καὶ σημεῖα μὲν δι' ὧν παρίσταται καὶ προδηλοῦται σωματικὰ ἢ ψυχικὰ πάθη· λέγουσι γὰρ καὶ τῶν ἰατρῶν οἱ χαρίεντες, ὅτι δεῖ προσέχειν σφόδρα τοῖς ἐνυπνίοις, ὡς ἐν τούτοις ἔσται τεκμήρασθαι περὶ τοῦ μέλλοντος ἀρρωστήματος. εὔλογον δὲ οὕτως ὑπολαβεῖν καὶ τοῖς τεχνίταις μέν, σκοπουμένοις δέ τι καὶ φιλοσοφοῦσι περί τινος. αἱ γὰρ μεθ' ἡμέραν γινόμεναι κινήσεις, ἂν μὴ σφόδρα μεγάλαι ὦσι καὶ ἰσχυραί, λανθάνουσι παρὰ μείζους τὰς ἐγρηγορικάς. ἐν δὲ τῷ καθεύδειν τοὐναντίον ἅπαν· καὶ γὰρ αἱ μικραὶ μεγάλαι δοκοῦσιν εἶναι. δῆλον δὲ ἐπὶ τῶν συμβαινόντων κατὰ τοὺς ὕπνους πολλάκις· οἴονται γὰρ κεραυνοῦσθαι καὶ βροντᾶσθαι μικρῶν ἤχων ἐν τοῖς ὠσὶ γινομένων, καὶ μέλιτος καὶ γλυκέων χυμῶν ἀπολαύειν ἀκαριαίου φλέγματος ἀπορρέοντος, καὶ βαδίζειν διὰ πυρὸς καὶ θερμαίνεσθαι σφόδρα μικρᾶς θερμασίας περί τινα μέρη γινομένης. ἐπεγειρομένοις δὲ ταῦτα γίνεται τοῦτον ἔχοντα τὸν τρόπον. ὥστ' ἐπεὶ μικραὶ πάντων αἱ ἀρχαί, δηλονότι καὶ τῶν νόσων καὶ τῶν ἄλλων παθημάτων | τῶν ἐν τοῖς σώμασι μελλόντων γίνεσθαι. 293 φανερὸν οὖν ὅτι ταῦτα ἀναγκαῖον ἐν τοῖς ὕπνοις εἶναι καταφανῆ μᾶλλον ἢ ἐν τῷ ἐγρηγορέναι.

Ἀλλὰ τίνων μὲν καὶ ὅπως σημεῖα τὰ ἐνύπνια, εἴρηται, ὅπως δὲ καὶ αἴτια καὶ τίνα, ἤδη ῥηθήσεται. ὅτι δὲ τῶν οἰκείων ἑκάστῳ πράξεων καὶ οὐ τῶν ἀλλοτρίων, μᾶλλον ἂν εὔλογον δόξειεν. ὥσπερ γὰρ μέλλοντες πρᾶξαί τι ἢ ἐν ταῖς πράξεσιν ὄντες ἢ πεπραχότες πολλάκις εὐθυονειρίᾳ τούτοις σύνεσμεν καὶ πράσσομεν ἀπὸ τῶν μεθ' ἡμέραν ἀρχῶν, οὕτω πάλιν καὶ τὰς καθ' ὕπνον κινήσεις ἀναγκαῖον πολλάκις ἀρχὴν εἶναι τῶν μεθ' ἡμέραν πράξεων διὰ τὸ προοδοποιεῖσθαι πάλιν καὶ τούτων τὴν διάνοιαν ἐν τοῖς φάσμασι τοῖς νυκτερινοῖς. οὕτω μὲν οὖν ἐνδέχεται τῶν ἐνυπνίων ἔνια καὶ σημεῖα καὶ αἴτια εἶναι· τὰ δὲ πολλὰ συμπτώμασιν ἔοικε, μάλιστα δὲ τὰ ὑπερβατὰ πάντα καὶ ὧν μὴ ἐν αὐτοῖς ἡ ἀρχή, οἷον περὶ ναυμαχίας τῆς ἐν Περσίδι γινομένης καὶ τῶν ἄλλων τῶν πόρρω συμβαινόντων. περὶ γὰρ τούτων τὸν αὐτὸν τρόπον ἔχειν εἰκὸς οἷον εἰ μεμνημένου του περί τινος τύχοι τοῦτο γενόμενον. τί γὰρ κωλύει καὶ ἐν τοῖς ὕπνοις οὕτω; μᾶλλον δὲ εἰκὸς ταῦτα συμβαίνειν; ὥσπερ οὖν οὐδὲ τὸ μεμνῆσθαι περὶ τοῦδε σημεῖον οὐδ' αἴτιον

---

2. 3 Mich. p. 78,12 3. 4 Arist. p. 463a4—6 4. 5 ὡς—ἀρρωστήματος ipse addidit 5—18 Arist. ib. v. 6—21 19. 20 Mich. p. 80,3 20—p. 42,10 Arist. p. 463a22—b19 28. 29 τῆς—γινομένης Mich. p. 81,3 4

---

4 σφόδρα om. Arist. EY 5 τεκμηριώσασθαι C 6 post τοῖς add. μὴ Victorius (Arist. praeter L) 7 μεθ' ἡμέραν om. A ἐὰν Arist. EMY 14 γίνεται] φαίνεται conicio, ⟨φανερὰ⟩ γίνεται Spengel (cf. Arist. et Mich. p. 79,6) 16 prius τῶν ABC Arist.: om. a 24 ἀρχὰς Arist. EMY 25 προωδοποιῆσθαι Arist. L, προοδοπεποιῆσθαι EMY 26 φαντάσμασι C ex Arist. Spengel, sed cf. p. 36,8 καὶ om. Arist. EMY 27 alt. δὲ] οἷον Arist. EMY alt. τὰ] τά τε Arist. EMY 29 γενομένης B, e corr. A 30 post οἷον add. ὥσπερ in mg. B τύχη AB 31 γινόμενον Arist. praeter LS 32 μνησθῆναι Arist. praeter L

τοῦ παραγενέσθαι αὐτόν, οὕτως οὐδ' ἐκεῖ μετὰ τὸ ἀποβῆναι τὸ ἐνύπνιον τῷ δ' ὄντι οὔτε σημεῖον οὔτε αἴτιον ἀλλὰ σύμπτωμα. διὸ καὶ πολλὰ τῶν ἐνυπνίων οὐκ ἀποβαίνει· τὰ γὰρ συμπτώματα οὔτ' ἀεὶ οὔθ' ὡς ἐπὶ τὸ πολὺ γίνεται.

Ὅλως δὲ ἐπεὶ καὶ τῶν ἄλλων ζῴων ὀνειρώττει | τινά, θεόπεμπτα 294 μὲν οὐκ ἂν εἴη τὰ ἐνύπνια οὐδὲ γέγονε τούτου χάριν, δαιμόνια μέντοι· ἡ γὰρ φύσις δαιμονία, οὐ θεία. σημεῖον δέ· πάνυ γὰρ εὐτελεῖς ἄνθρωποι προορατικοί εἰσι καὶ εὐθυόνειροι, ὡς οὐ θεοῦ πέμποντος, ἀλλ' ὅσων ὡσπερανεὶ λάλος ἡ φύσις ἐστὶ καὶ μελαγχολικὴ παντοδαπὰς τὰς ὄψεις ὁρώντων· διὰ δὲ τὸ πολλὰ καὶ παντοδαπὰ κινεῖσθαι ἐπιτυγχάνουσιν, ὥσπερ ἔνιοι ἀρπάζουσιν ἐρίζοντες οὐχ ἓν ἀλλὰ πολλά, εἰ πολλὰ τὰ ῥιπτούμενα εἴη· καὶ ὥσπερ λέγεται 'εἰ πολλὰ βάλοις, ἄλλοτε ἀλλοῖον βαλεῖς', καὶ ἐπὶ τούτων συμβαίνει τοῦτο. ὅτι δ' οὐκ ἀποβαίνει πολλὰ τῶν ἐνυπνίων, οὐδὲν ἄτοπον· οὐδὲ γὰρ τῶν ἐν τοῖς σώμασι σημείων καὶ τῶν οὐρανίων, οἷον τὰ τῶν ὑδάτων καὶ τῶν πνευμάτων· ἂν γὰρ ἄλλη κυριωτέρα ταύτης συμβῇ κίνησις, ἀφ' ἧς μελλούσης ἐγένετο τὸ σημεῖον, οὐ γίνεται. ἰδὼν γάρ τις ἐν ὕπνῳ διέρχεσθαι βόρβορον μεθ' ἡμέρας νενόσηκεν (τῶν γὰρ ἐντὸς σεσημμένων χυμῶν ἀρχομένων κινεῖσθαι κατὰ τὴν νύκτα ἠρεμῶν ἐλάμβανεν αἴσθησιν), καὶ ἐπὶ πυρὸς διαβαίνειν, καὶ μετ' ὀλίγον ἐπύρεξεν. ἄλλοτε δ' αὖ ταῦτα ἰδὼν οὐκ ἐνόσησε τῷ τὴν φύσιν διεγερθεῖσαν καὶ τοὺς χυμοὺς πέψασαν ἀπεῖρξαι τῷ πάθει τὴν εἴσοδον. καὶ τὴν περὶ σελήνην ἅλω καὶ βροχῆς καὶ πνευμάτων ποιούμεθα σύμβολον, πολλάκις δὲ συνισταμένης οὐδὲν συνέβη τούτων διὰ τὴν ἀντιπερίστασιν τοῦ περιέχοντος κρατηθέντος ὑπὸ τῆς ἐναντίας κινήσεως. καὶ πολλὰ βουλευθέντα καλῶς τῶν πραχθῆναι δεόντων διελύθη δι' ἄλλας κυριωτέρας ἀρχάς. ὅλως γὰρ οὐ πᾶν γίνεται τὸ μελλῆσαν, οὐδὲ τὸ αὐτὸ ἐσόμενον καὶ μέλλον, ἀλλ' ὅμως | ἀρχάς τε 295 λεκτέον εἶναι, ἀφ' ὧν οὐκ ἐπετελέσθη, καὶ σημεῖα πέφυκε ταῦτά τινων οὐ γενομένων.

Περὶ δὲ τῶν μὴ τοιαύτας ἀρχὰς ἐχόντων ἐνυπνίων μηδὲ τῶν ἐφ' ἃ ἡμεῖς κύριοι, ἀλλ' ὑπερορίας ἢ τοῖς χρόνοις ἢ τοῖς τόποις ἢ τοῖς μεγέθεσιν ἢ καὶ τῶν ἐγγὺς μὲν πραττομένων καὶ παρὰ γείτονος ἴσως, μὴ μέντοι γε ἐν αὐτοῖς ἐχόντων τὰς ἀρχὰς τῶν εἰδότων τὸ ἐνύπνιον, εἰ μὴ γίνεται τὸ

---

11. 12 Mich. p. 81,26—30 12—16 Arist. p. 463b21—26 16—24 cf. Mich. p. 82,10—22 24—p. 43,1 Arist. p. 463b26—464a5 31 Mich. p. 83,11. 12

---

1 μετὰ τὸ cum Arist. U (μὴ τὸ S, τοῦ L, τῶ M, τὸ EY; sed μετὰ post ἀποβῆναι add. EY, post ἰδόντι M) 2 δ' ὄντι cum Arist. S (ἰδόντι ceteri) 3 τὸ γὰρ σύμπτωμα Arist. EMY 5 ὅμως Arist. praeter LU 7 δαιμόνιον Arist. EMY ante οὐ add. ἀλλ' Arist. EMY 9 ὥσπερ εἰ Arist. SU τὰς om. Arist. 10 ὁρῶσιν Arist. (ὁρῶσα U) δὲ] γὰρ Arist. praeter LS 13 τοῦτο om. Arist. EMY 15 καὶ τὰ τῶν Arist. praeter S ἂν γὰρ] ἀλλ' ὅμως ἂν Arist. EMY 16 μενούσης Ca 20 τῷ] διὰ τὸ C 22 συνισταμένην a 26 μελῆσαν AB (Arist. MS) τε] γε Arist. Y, γέ τινας EM 27 ἐτελέσθη Arist. EMY πέφυκε C Arist.: πέφυκε τῶν ABa 28 γινομένων Arist. praeter LU 29 post ἐνυπνίων add. οἵας εἴπομεν Arist. EMY 31 γε om. Arist. EMY 32 ἰδόντων Arist.

προορᾶν ἀπὸ συμπτώματος, ἑτέρως ἂν ἔχοι μᾶλλον ἢ ὡς λέγει Δημόκριτος. εἴδωλα γὰρ ἐκεῖνος καὶ ἀπορροίας αἰτιᾶται, ὧν τὰ μέν φησιν ἀγαθοποιά, τὰ δὲ κακοποιά, ὑπερμεγέθη τε εἶναι καὶ δύσφθαρτα, ἐμπελάζειν δὲ τοῖς ἀνθρώποις καὶ προσημαίνειν τὰ μέλλοντα θεωρούμενα ἔστιν οἷς καὶ φωνὰς ἀφιέντα μόνον αἰσθητὰς ἐν ὕπνῳ τοῖς ἐπαΐουσιν, ὅθεν καὶ εὐλόχων τυχεῖν εἰδώλων ἐπεύχεται. ἀλλ' ἡμεῖς τὸ μὲν εἴδωλα λέγειν φέρεσθαι καὶ πάμπαν ἀπαγορεύομεν, κινήσεις δέ τινας μᾶλλον ἀντὶ τούτων εἰσάγομεν ἀπ' ἀρχῶν τῶν μελλόντων γίνεσθαι καὶ λόγων καὶ πράξεων, ὑφ' ὧν σχηματιζομένου τοῦ ἀέρος καὶ διὰ τῶν ὤτων ἢ τῶν μυκτήρων προσπιπτουσῶν ἐν τοῖς ὕπνοις τῇ καρδίᾳ προορᾶν τὸ μέλλον. ὥσπερ γὰρ ὅταν τι κινήσῃ τὸ ὕδωρ ἢ τὸν ἀέρα, τοῦθ' ἕτερον ἐκίνησε, παυσαμένου δ' ἐκείνου συμβαίνει τὴν αὐτὴν κίνησιν προϊέναι μέχρι τινός, τοῦ κινήσαντος οὐ παρόντος, οὕτως οὐδὲν κωλύει κίνησίν τινα καὶ αἴσθησιν ἀφικνεῖσθαι πρὸς τὰς ψυχὰς τὰς ἐνυπνιαζούσας, ἀφ' ὧν ἐκεῖνος ποιεῖ τὰ εἴδωλα καὶ τὰς ἀπορροίας, καὶ ὅποι δὴ ἔτυχεν ἀφικνουμένας μᾶλλον αἰσθητὰς εἶναι νύκτωρ διὰ τὸ μεθ' ἡμέραν φερομένας διαλύεσθαι μᾶλλον (ἀταραχωδέστερος γὰρ ὁ ἀὴρ τῆς νυκτὸς διὰ τὸ νηνεμωτέρας εἶναι τὰς νύκτας), καὶ ἐν τῷ σώματι ποιεῖν αἴσθησιν διὰ τὸν ὕπνον· τῶν γὰρ μικρῶν κινήσεων καθεύδοντες μᾶλλον ἢ ἐγρηγορότες αἰσθανόμεθα. ποιουσῶν οὖν τῶν εἰρημένων αἰσθήσεων φαντάσματα ἐν τῷ ἡγεμονικῷ τὸ προορᾶν γίνεται, καὶ διὰ ταῦτα συμβαίνει τὸ πάθος τοῦτο τοῖς τυχοῦσι καὶ οὐ τοῖς φρονίμοις. μεθ' ἡμέραν τε γὰρ ἐγένετο ἂν καὶ τοῖς σοφοῖς, εἰ θεὸς ἦν ὁ πέμπων. καὶ ἔτι οὕτω γινομένου τοῦ προορᾶν εἰκὸς τοὺς τυχόντας μᾶλλον προορᾶν· ἡ γὰρ διάνοια τῶν τοιούτων οὐ φροντιστική, ἀλλ' ὥσπερ ἔρημος καὶ κενὴ πάντων, ὧν πλήρης ἡ τῶν φιλοσοφούντων ἐστί, καὶ κινηθεῖσα κατὰ τὸ κινοῦν ἄγεται. καὶ τοῦ ἐνίους τῶν ἐκστατικῶν προορᾶν αἴτιον, ὅτι αἱ οἰκεῖαι κινήσεις οὐκ ἐνοχλοῦσιν ἀλλ' ἀπορραπίζονται. τῶν ξενικῶν οὖν μάλιστα αἰσθάνονται καὶ τῶν προσπιπτόντων ἔξωθεν. τὸ δέ τινας εὐθυονείρους εἶναι μάλιστα περὶ τῶν γνωρίμων καὶ προορᾶν συμβαίνει διὰ τὸ τοὺς γνωρίμους μάλιστα ὑπὲρ ἀλλήλων φροντίζειν· ὥσπερ γὰρ πόρρω ὄντων τάχιστα τῇ ὄψει γνωρίζουσι καὶ αἰσθάνονται, οὕτω καὶ ἐπὶ τῶν ἐν τῷ καρδίᾳ τύπων καὶ κινήσεων. αἱ γὰρ τῶν γνωρίμων γνωριμώτεραι κινήσεις. οἱ δὲ μελαγχολικοὶ διὰ τὸ σφοδρὸν

2—10 Mich. p. 83,18—26 10—p. 44,1 Arist. p. 464a6—33 24. 25 cf. Mich. p. 84,5 27. 28 καὶ—ἔξωθεν e Mich. p. 84,25

2 ἀπορροάς B (Arist. praeter EM), cf. v. 14 5 εὐλόχων (εὐλόγχων rectius Mich. SR)] χ corr. ex γ B 8 γενέσθαι A 10 τι κινήσῃ Aa (Arist. L): τις κινήσῃ C (κ. τις Arist. EY): κινήσῃ B (Arist. Γ): κινήσῃ τι Arist. MS 11 καὶ παυσαμένου Arist. praeter L 12 κίνησιν om. C 14 ἀπορροάς Arist. EY ὅποι Ca (Arist. U, ὁποῖα M, ὅπου S): ὅπῃ (A)B (Arist. L, ἐπεὶ EY) 15 ἢ ante νύκτωρ add. C 17 ἠρεμαιοτέρας Arist. EMY 19 αἰσθόμεθα AB φαντάσματα B Arist.: φάντασμα ACa 21 ἐγίνετ' Arist. ἂν C Arist.: om. ABa 25 καὶ τοῦ] τοῦ δ' Arist. EMY τοῦ] τὸ B 27 ἀπορριπίζονται Arist. MSU 29 περὶ Arist. LSU 30 ὄντων] ὄντα B μάλιστα Arist. EMY 31 post αἰσθ. add. οἱ συνήθεις Arist. EMY 32 σφόδρα Arist. praeter LU

κατὰ τοὺς πόρρωθεν βάλλοντας καὶ εὐστοχοῦντάς εἰσιν. ὡς γὰρ ἐκεῖνοι τὸ τοξευθέν, ὅσα καὶ χειρί, τῷ βέλει καὶ πόρρωθεν ὄντες κατέχουσι, καὶ οὗτοι τὸ μέλλον ὥσπερ προαρπάζουσι τῷ τάχει τῆς κινήσεως· εὐμετάβολον γὰρ ὂν τὸ φανταστικὸν αὐτοῖς ταχὺ τὸ ἐχόμενον τῆς ἀρχῆς τῶν ἐσομένων φαντάζεται. ὥσπερ γὰρ τὰ Φιλαιγίδου ποιήματα μὴ ἔχοντα μεταβολὰς προσώπων καὶ διηγημάτων μεταπτώσεις ἀεὶ ἐχόμενα τοῦ ὁμοίου λέγουσι καὶ συνείρουσιν (οἷον εἰ περὶ | Ἀφροδίτης ἐν ταῖς ἀρχαῖς εἶπε, καὶ μέχρι 297 τέλους ταύτης ἔχεται), οὕτω καὶ οἱ ἐμμανεῖς ἐχόμενα τοῦ ὁμοίου διανοοῦνται καὶ βλέπουσι. καὶ πρὸς τούτοις διὰ τὴν σφοδρότητα οὐκ ἐκκρούεται αὐτῶν ἡ κίνησις ὑφ' ἑτέρας κινήσεως. τεχνικώτατος δ' ἐστὶ κριτὴς ἐνυπνίων ὅστις δύναται τὰς ὁμοιότητας θεωρεῖν· τὰς γὰρ εὐθυονειρίας κρίνειν παντός ἐστι, λέγω δὴ τὰς ὁμοιότητας, ὅτι παραπλήσια συμβαίνει τὰ φαντάσματα τοῖς ἐν τοῖς ὕδασιν εἰδώλοις, καθάπερ καὶ πρότερον εἴρηται. ἐκεῖ γὰρ ἂν μὴ ἠρεμῇ τὸ ὕδωρ, ἀλλὰ πολλὴ γένηται κίνησις, οὐχ ὁμοία γίνεται ἡ ἔμφασις καὶ τὰ εἴδωλα τοῖς ἀληθινοῖς, κἂν τοῖς ὕπνοις δέ, ὅταν σφοδρὰ τυγχάνῃ καὶ συγκεχυμένη ἡ πρὸς τὴν καρδίαν καταφερομένη παλίρροια, οὐθ' ὁμοίους οὔτε καθαροὺς τοὺς τύπους ἐᾷ φαντάζεσθαι καὶ τὰ ἐγκαταλείμματα. ἡ γὰρ κίνησις ἐκκόπτει τὰς εὐθυονειρίας. δεινὸς δὴ ἑκάτερος ἔσται κριτής, ὅ τε τὰς ἐμφάσεις συνορᾶν δυνάμενος καὶ ταχὺ διαισθάνεσθαι ἐν ὀχλουμένῳ ὕδατι καὶ τὰ πεφορημένα καὶ διεστραμμένα τῶν εἰδώλων τοῖς ἀληθινοῖς προσβιβάζειν, οἷον ὅτι τόδε ἀνθρώπου ἢ ἵππου καὶ μὴ τοιούτου ὀφθέντος, καὶ ὁ ἐν τοῖς ὕπνοις αὐτὸ τοῦτο ποιεῖν δυνάμενος. τί μὲν οὖν ἐστιν ὕπνος καὶ ἐνύπνιον, καὶ διὰ τίν' αἰτίαν ἑκάτερον αὐτῶν γίνεται, ἔτι δὲ περὶ τῆς τῶν ἐνυπνίων μαντείας εἴρηται, περὶ δὲ κινήσεως τῆς κοινῆς τῶν ζῴων λεκτέον.

---

1—9 Mich. p. 85,24—86,6   9—15 Arist. p. 464b4—12   15—18 ipse addidit   18—24 cf. Arist. ib. v. 12—18   25 ipse addidit

---

1 εὐστοχοῦντες a   5 γὰρ Ca: δὲ AB   Φιλαισίδου AB   6 διηγημάτων Ca: νοημάτων AB   λέγουσι AB: διανοοῦνται Ca, prius A   7 περὶ Ἀφροδίτης AB Mich. (περ Ἀφρ. RP): τις Ἀφροδίτην Ca   14 κίνησις γένηται Ca: γίνηται ἡ κ. Arist. (γένηται LM)   16 σφόδρα a   16. 17 μεταφερομένη C, prius A   19 δὴ AB Arist.: δὲ Ca   ταχὺ om. Arist. EY   20 συναισθάνεσθαι Arist. EMY   ἐνοχλουμένῳ ACa: ἐνοχλουμένας B   23 καὶ τί ἐνύπνιον Arist. EMY   24 μαντικῆς Arist. EU   25 in fine τέλος τοῦ περὶ μνήμης καὶ ἀναμνήσεως καὶ ὕπνου καὶ ἐγρηγόρσεως καὶ τῆς καθ' ὕπνον μαντικῆς: Ἰωάννου Δίου ἡ βίβλος ἥδε B, τέλος AC

# INDEX NOMINVM

praeter locos asterisco notatos omnia nomina ex Aristotele vel Michaele sumpsit

Ἀθῆναι 2,30 11,20*
anonymus poeta 8,25. 27
Ἀντιφέρων 6,31
*Aristoteles Περὶ ψυχῆς 4,19 ἐν τῇ Διαλεκτικῇ 11,4
Ἀφροδίτη 44,7
Βορυσθένης 40,14
Δημόκριτος 43,1
Demosthenes 9,21
Ἡράκλειαι στῆλαι 40,13
Θεαίτητος 14,8. 9
Ἰνδία 2,31
Κορίσκος 8,21 ss. 38,4 ss.
Λεωσθένης 12,8
Λεωφάνης 12,7. 8
Λυκάβηττος 9,2. 4
*Λύκιον 11,20
Homerus 8,1
Περσίς 41,28
Πλάτων 3,16 11,20* ἐν τῷ Τιμαίῳ 12,33
Σωκράτης 2,1* 32 8,23. 32 9,20 10,2 11,20. 21 14,8. 9 29,21 32,6
Ταυρομενίτης 9,4
Φιλαιγίδης 44,5
Ὠρείτης 6,31

# ADDENDA

cum olim uno siglo C*a* comprehendissem, factum est, ut in apparatu p. 1,1. 6 post C et C² intercideret *a*
p. 2,20 ἄμνημα etiam C
p. 18,32 in Testimoniorum indice scrib. Mich. p. 46,4—26.

SUPPLEMENTUM ARISTOTELICUM

I. † 1. Excerptorum Constantini de natura animalium libri duo. Aristophanis Historiae animalium Epitome subiunctis Aeliani Timothei aliorumque eclogis ed. Spyridon P. Lambros . (1885) .
† 2. Prisciani Lydi quae extant Metaphrasis in Theophrastum et Solutionum ad Chosroem liber ed. I. Bywater . . . (1886) .
II. Alexandri Aphrodisiensis praeter commentaria Scripta minora.
† 1. De anima liber cum mantissa ed. Ivo Bruns . . . . . (1887) .
† 2. Scripta minora reliqua (Quaestiones. De fato. De mixtione) ed. Ivo Bruns . . . . . . . . . . . . . . . . (1892) .
III. † 1. Anonymi Londinensis ex Aristotelis Iatricis Menoniis et aliis medicis eclogae ed. H. Diels (cum tabulis duabus) . . (1893) .
** 2. Aristotelis res publica Atheniensium ed. F. G. Kenyon.

VERLAG VON GEORG REIMER IN BE

DOXOGRAPHI GRAEC

COLLEGIT RECENSUIT PROLEGOMENIS INDICIBUSQUE INS

HERMANNUS DIELS

OPUS ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE PRAEMIO ORN

PREIS M. 24.—.

PARMENIDES LEHRGEDIC

GRIECHISCH UND DEUTSCH

VON

HERMANN DIELS

MIT EINEM ANHANG ÜBER GRIECHISCHE THÜREN UND SCHLÖSS

MIT ABBILDUNGEN. PREIS M. 5.—.

SIBYLLINISCHE BLÄTT

VON

HERMANN DIELS

PREIS M. 2.80.

VERLAG VON GEORG REIMER IN BERLIN

# PROSOPOGRAPHIA ATTICA

EDIDIT

**IOHANNES KIRCHNER**

**VOL. I Α—Κ PREIS M. 24.—.**
**VOL. II Λ—Ω CONSPECTUS DEMOTARUM ARCHONTUM TABULAE. ACCEDIT INDEX TITULORUM HOC IN OPERE SUPPLETORUM. PREIS M. 28.—.**

# PROSOPOGRAPHIA IMPERII ROMANI

SAEC. I. II. III.

CONSILIO ET AVCTORITATE

ACADEMIAE SCIENTIARUM REGIAE BORVSSICAE

EDIDERUNT

**E. KLEBS, H. DESSAU, P. DE ROHDEN**

**PREIS: VOL. I M. 24.—,**
**„ II M. 20.—,**
**„ III M. 25.—.**

# KANT'S GESAMMELTE SCHRIFTEN

HERAUSGEGEBEN VON DER KÖNIGL. PREUSS. AKADEMIE DER WISSENSCHAFTEN ZU BERLIN

DIE AUSGABE ZERFÄLLT IN 4 ABTEILUNGEN:

**I. WERKE II. BRIEFWECHSEL III. HANDSCHRIFTLICHER NACHLASS IV. VORLESUNGEN**

UND UMFASST 22 BIS HÖCHSTENS 25 BÄNDE, DIE IN FREIER FOLGE ERSCHEINEN UND EINZELN KÄUFLICH SIND. ZUNÄCHST GELANGEN BRIEFWECHSEL UND WERKE ZUR VERÖFFENTLICHUNG.

BIS JETZT ERSCHIENEN:

BAND I: **WERKE** I.
GEHEFTET M. 12.—, GEBUNDEN M. 14.—

BAND X: **BRIEFWECHSEL** I.
GEHEFTET M. 10.—, GEBUNDEN M. 12.—

BAND XI: **BRIEFWECHSEL** II.
GEHEFTET M. 10.—, GEBUNDEN M. 12.—

BAND XII: **BRIEFWECHSEL** III.
GEHEFTET M. 9.—, GBBUNDEN M. 11.—

MAR 30 1936